Λύσις. Βίβλος μὲν Ὁράσεων συγγραφεῖσα τῷ ἁγίῳ Παύλῳ οὔτε γνωρίζεται ἡμῖν, οὔτε ὅλως μέχρι καὶ ἐς δεῦρο ἠκούτισται· εἰ δὲ λέγεις διὰ τὰς Ὁράσεις, τὴν πρώτην καὶ τὴν δευτέραν, ὧν τὴν μὲν εἶδεν ἐν αὐτῷ τῷ διωγμῷ τοῦ Χριστοῦ, τὴν δὲ ἐν αὐτῇ τῇ ἀποστολῇ καὶ τῷ γύρῳ τοῦ Εὐαγγελίου, ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν καὶ ἀναβαίνων εἰς τρίτον οὐρανόν, ταύτας δὲ τὰς ὁράσεις ἐπέγνωμεν καὶ ὁμολογοῦμεν, λαβόντες τὰς μαρτυρίας ἔκ τε τοῦ ἁγίου Παύλου τοῦ ἐπόπτου καὶ οὐρανοβάμονος, ὑπομνηματίσαντος τὸ εἶδος τῆς θεοφαντορίας, κατὰ τὸ ἐπιτρέχον ἔν τισι τῶν οἰκείων ἐπιστολῶν, καὶ ἐξ αὐτοῦ τοῦ ἁγίου ἀποστόλου Λουκᾶ τοῦ συγγραφέως τῶν ἀποστολικῶν Πράξεων, διηγησαμένου τά τε ἄλλα καὶ τοῦ μεγάλου Παύλου τὴν ἐξ ἀπιστίας εἰς πίστιν μετάθεσιν, τὸν καινὸν συσσεισμόν. Ὁ δὲ ἅγιος Γρηγόριος ὁ Θεολόγος δοκεῖ μὲν ἐν τῷ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι» ποθεῖν τινα ἔκστασιν καί τι θεαυγὲς κατοπτεῦσαι, κατὰ τὸν διορατικὸν Ἀββακοὺμ τὸν πρῶτον οὐρανοφοίτην. Εἴτε δὲ πράγματι ἐν ἐκστάσει ὁ ἅγιος Γρηγόριος καὶ θεοπτίᾳ, εἴτε σχηματίζεται τὸν εἰς ὁράσεις μεταρσιούμενον, κατ' οἰκονομίαν τῷ λόγῳ χρησίμην, καθὼς καὶ τῷ μεγάλῳ Μαξίμῳ δοκεῖ, κοινὸς γὰρ διδάσκαλος ὁ πατὴρ καὶ ὡς ῥήτωρ ταῦτα γράφει καὶ μεθοδεύει, συνεργὰ πρὸς ἀκρόασιν καὶ ἐγκαίρως χρήσιμα, εἰδείη ἂν αὐτὸς ὁ τὸ τοιοῦτον λῆμμα ἢ ὅραμα εἴτε οἰκονομικῶς χρηματισάμενος, εἴτε ἀληθῶς ἐνοπτρισάμενος.

Δ'. Αἱ ἐρωτήσεις τοῦ ἁγίου Γρηγορίου καὶ τοῦ ἁγίου Βασιλείου ἀληθεῖς εἰσὶν, ἢ οὔ;

Λύσις. Εὐσεβῶς μὲν ἐκτέθειται· εἴτε δὲ αὐτῶν τῶν μεγάλων πατέρων, εἴθ' ἑτέρων σεμνυνάντων τὸ διαλογικὸν τοῦτο σύνταγμα τῇ περιωνύμῳ ἐπιγραφῇ τῶν

* ἐμὴ προσθήκη ἡ λέξις ἐρώτησις.

* ἐν τῷ χειρογράφῳ παραλείπεται τὸ ὄνομα τοῦ μεταγράψαντος τὰς ἐπιλύσεις, ὃς ἔζησε κατὰ τὴν ΙΣΤ᾽ πιθανῶς ἑκατονταετηρίδα. Οὗτος προσέθηκε καὶ τὸ σχόλιον τοῦτο, παρατηρήσεις περιέχον εἰςτὰ ἄδιά τινος ἀνασκευῆς·ἀλλὰ περιέκοψεν ἑκ.τοῦ πβ' ἀποστολικοῦ κανόνος μέρη τινά, καθὼς δύναται 'να ἴδῃ τις ἀντιβάλλων τοῦτον πρὸς τὰς τύπους ἑκδεδομένας κανονικὰς συλλογάς.

ἐκκρίτων τούτων διδασκάλων ὡς ἂν γίνωνται οἱ ἐντυγχάνοντες φιλακροάμονες μάλιστα, οὐκ ἔχομεν ἑκάτερον τούτων ἀκριβῶς ἀποφήνασθαι.

(ἕπεται συνέχεια)

ὁ μ. χ. Μ. Ι. Γ.

ΔΗΛΩΣΙΣ

Παρακαλοῦνται οἱ ἔχοντες νὰ ἀποστείλωσι διατριβὰς τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ» πρὸς δημοσίευσιν, ὅπως διευθύνωσιν αὐτὰς εἰς τὸ ὄνομα τοῦ προέδρου τῆς διευθυνούσης τὴν «Ἐκκλησιαστικὴν Ἀλήθειαν» ἐπιτροπῆς σεβ. μητροπολίτου Αἴνου κ. Ἰωακείμ.

ΜΙΛΤ. ΚΑΡΑΒΟΚΥΡΟΥ

ΤΑ ΔΙΚΑΙΑ (ΝΟΜΟΙ) ΚΑΙ ΤΑ ΔΙΚΑΣΤΗΡΙΑ ΕΝ ΤΟΥΡΚΙΑ.

(Συνέχεια ἴδε ἀριθμὸν 21)

Ἐὰν δὲ ἡ βασιλεία μου μη **νύσῃ πρός** τινας τῶν ἀρχόντων τῆς Βενετίας καὶ φίλων τῆς βασιλείας μου, ἵνα ἁρματώσωσι κάτεργα καὶ δουλεύσωσι τῇ βασιλείᾳ μου, καὶ θελήσωσι διὰ τὴν ἀγάπην τῆς βασιλείας μου ποιῆσαι τοῦτο, οὐ μὴν ἐμποδίσονται οὗτοι εἰς τοῦτο παρὰ τοῦ εὐγενεστάτου δουκὸς Βενετίας ἢ τοῦ κουμουνίου αὐτῶν· ἀλλ' οὐδὲ ἡ βασιλεία μου, ἵνα ἀποστείλῃ τὰ τοιαῦτα κάτεργα κατὰ χώρας τινὸς ἐχούσης φιλίαν μετὰ τῆς Βενετίας.

Ἵνα, ἐὰν διὰ ξηρᾶς συμβῇ ἐλθεῖν φοσσάτον κατὰ χώρας τῆς βασιλείας μου, οἱ εὑρισκόμενοι ἐν ἐκείνῳ τῷ τόπῳ βενέτικοι φυλάσσωνται καὶ οὗτοι παρὰ τῆς βασιλείας μου, ὡς καὶ οἱ ὑπὸ τὴν βασιλείαν μου ρωμαῖοι ἢ εἰς Πόλιν ἢ εἰς Θεσσαλονίκην.

Ἵνα θήσῃ τὸ κουμούνιον τῆς Βενετίας κεφαλὴν ἐπάνω εἰς τὸν λαὸν αὐτῶν καὶ ὀνομάζηται μπάϊλος καὶ ἀποστέλλῃ κατὰ τόπους ἔνθα μέλλουσιν ἔχειν ἀναπαύσεις κριτάς, ὅπως διεξάγωσι τὸν λαὸν αὐτῶν· ἀλλὰ καὶ ρωμαῖοι ὅσοι ἔχουσιν ὑπόθεσίν τινα μετὰ βενέτικων καὶ θελήσουσιν ἵνα κριθῶσι παρὰ τοῦ μπαΐλου, ἵνα κρίνωνται καὶ οὗτοι κατὰ τὸ δίκαιον.

Ἵνα ἔχωσιν οἱ ἐγνωσμένοι βενέτικοι πάντες ἐξουσίαν εἰς πάσας τὰς χώρας τῆς βασιλείας μου, ἐφ' αἷς μέλλουσι ποιεῖν πραγματείαν, κατά τε ξηρὰν καὶ θάλασσαν, ἀλλὰ καὶ χωρὶς πραγματείας ἐρχόμενοι ἵνα διέρχωνται καὶ εἰς γῆν καὶ θάλασσαν χωρίς τινος δόσεως καὶ ἐμποδισμοῦ καὶ χωρὶς δόσεως τελωνείου, διαβατικοῦ, κομμερκίου, σκαλιατικοῦ καὶ ἄλλης ἁπάσης δόσεως.

Ἵνα οἱ φέροντες πραγματείας βενέτικοι, ἔνθα ἂν φέρωσι ταύτας, δεικνύωσιν αὐτὰς τοῖς κατὰ τόπους κομμερκιαρίοις τῆς βασιλείας μου καὶ μεθ' ὅρκου ἐξασφαλίζωνται, ὅτι οὔτε ἔχουσιν εἰς τὰς πραγματείας αὐτῶν ξένων τινῶν πραγματείας, ἀλλὰ αἱ πραγματεῖαι ὅλα. εἰσὶ τῶν Βενέτικων, καὶ ἵνα μὴ παρυποκρύπτωσιν ἐκ τῶν πραγματειῶν αὐτῶν τι· ὅπως λαμβάνωσιν οἱ κατὰ τόπους κομμερκιάριοι τῆς βασιλείας μου τὸ σύνηθες κομμέρκιον ἀπὸ τῶν ἐξωνουμένων αὐτάς.

Ἵνα ἔχωσι στατῆρας ἰδίους, μοδίους, μέτρα, λίτρας, πήχεις εἰς τοὺς οἰκείους τόπους.

Ἵνα αἱ ἐκκλησίαι αὐτῶν, ἃς μέλλουσιν ἔχειν ἐν οἷς μέλλουσι κατοικεῖν τόποις, ὦσιν ἰδιόρρυθμοι μετὰ δυνάμεως τῆς βασιλείας μου ἄνευ ἀνακρίσεως, καὶ ἵνα ποιῶσιν ἐν αὐταῖς βαπτίσματα καὶ ἱεροτελεστίας, καθὼς ἔχουσιν συνήθειαν.

Ἵνα, ἐὰν βενέτικος ἀποθάνῃ εἰς τὴν χώραν τῆς βασιλείας μου, εἴτε διαθήκην ποιήσει, εἴτε οὐ ποιήσει, οἰκονομῆται τὸ πρᾶγμα αὐτοῦ παρὰ τοῦ μπαΐλου ἢ παρὰ τοῦ δικαίῳ αὐτοῦ, καθὼς ἂν οὗτος διάθηται ἢ ὁ μπαΐλος καὶ ὁ δικαίῳ αὐτοῦ ἐπικρίνῃ καὶ οὐ μὴν εὑρίσκῃ ἐμποδισμόν τινα ἢ ὄχλησιν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου.

Ἵνα, ἐὰν συμβῇ κινδυνεῦσαι βενέτικους μετὰ καραβίων αὐτῶν ἢ μετὰ ἄλλων ξύλων εἰς χώραν τῆς βασιλείας μου ὦσι σῷοι καὶ αὐτὸς καὶ τὰ πράγματα αὐτῶν, καὶ ἵνα ἔχωσι βοήθειαν ἀπὸ λαοῦ τῆς βασιλείας μου, ὅπως κρατῶσι τὰ πράγματα αὐτῶν.

Ἵνα ἔχωσιν οἱ βενέτικοι ἄδειαν ἐξωνεῖσθαι σῖτον ἀπὸ τῆς χώρας τῆς βασιλείας μου, καὶ διακομίζειν αὐτὸν ἔνθα θέλουσι, πάριξ τῶν χωρῶν τῶν ἐχθρῶν τῆς βασιλείας μου. Ὅταν δὲ πωλεῖται ὁ σῖτος ἐν τῇ Κωνσταντινουπό-

λει τὸ κεντηνάριον ἐπέκεινα τῶν πεντήκοντα ὑπερπέρων, οὐ μὴν ἐξωνῶνται αὐτόν.

Ἵνα, ἐὰν συμβῇ ποιῆσαί τινα βενέτικον εἰς τινα ρωμαῖον βλάβην, ἐὰν εὑρεθῇ ὁ ποιήσας τὴν βλάβην, τηνικαῦτα ποιῇ ὁ μπάϊλος τὴν ἐκδίκησιν κατὰ τὸ δίκαιον. Εἰ δὲ οὐχ εὑρίσκεται ὁ ποιήσας ζημίαν, ἵνα διδῶται διορία παρὰ τοῦ μπαΐλου τῷ ἀδικηθέντι μέχρι καὶ ἑξαμήνου· καὶ εἰ μὲν εὑρεθῇ ὁ ποιήσας τὴν ἀδικίαν, ἵνα γένηται ἐκδίκησις πάλιν κατὰ τὸ δίκαιον· εἰ δὲ οὐχ εὑρεθῇ, ἵνα ποιῇ ὅρκον ὁ μπάϊλος ἢ ὁ δικαίῳ αὐτοῦ διδόναι εἴδησιν πανταχοῦ, ἔνθα ἔνι ἡ ἐξουσία τῶν βενετίκων καὶ εὑρίσκηται τὸ πρᾶγμα αὐτοῦ, καὶ ἱκανῶται ὁ ἀδικηθείς. Ἐὰν δὲ συμβῇ γενέσθαι φόνον, εἰ μὲν βενέτικος φονεύσει ρωμαῖον, ἵνα κρίνηται οὗτος παρὰ τῆς βασιλείας μου, ὁμοίως καὶ ρωμαῖος, ἐὰν φονεύσῃ βενέτικον. Εἰ δὲ βενέτικος φονεύσει ρωμαῖον, ἵνα κρίνηται οὗτος παρὰ τοῦ μέρους τῆς βασιλείας μου, ὁμοίως καὶ ρωμαῖος ἐὰν φονεύσῃ βενέτικον· εἰ δὲ βενέτικος φονεύσει βενέτικον, εἰ μὲν ἔξω τῆς Κωνσταντινουπόλεως φονεύσει τοῦτον, ἵνα κρίνηται παρὰ τοῦ μπαΐλου· εἰ δὲ ἐν τῇ Κωνσταντινουπόλει γένηται φόνος ἀπὸ βενέτικου εἰς βενέτικον, ἵνα κρίνηται καὶ τοῦτο παρὰ τοῦ μέρους τῆς βασιλείας μου.

Ἵνα ἀπολύσῃ ἡ βασιλεία μου τοὺς βενετίκους ὅσους ἔχει κεκρατημένους· καὶ ὅσους δὲ ρωμαίους κρατοῦσιν οἱ Βενέτικοι, ἵνα ἀπολύῃ τούτους ὁ δοὺξ τῆς Βενετίας καὶ τὸ κουμούνιον· ὡσαύτως δὲ ἀπολύσωσι καὶ τοὺς κρητικούς, τοὺς κορωναίους τε καὶ τοὺς μεθωναίους, τοὺς φθάσαντας γενέσθαι τῆς βασιλείας μου καὶ κατασχεθέντας παρ' αὐτῶν, ὁπότε ἦσαν οὗτοι τῆς βασιλείας μου· καὶ εἰ μὲν θελήσουσιν οἱ τοιοῦτοι κρητικοὶ ἢ οἱ κορωναῖοι ἢ οἱ μεθωναῖοι ἵνα πάλιν ὦσιν ἐκεῖσε, μένωσι παρ' αὐτῶν ἀβλαβεῖς· εἰ δὲ θελήσουσιν ἐλθεῖν εἰς τὴν χώραν τῆς βασιλείας μου, ἵνα ἀπολύωνται μετὰ τοῦ λαοῦ αὐτῶν.

Ἵνα οὐ μὴν παραχωρήσῃ ἡ βασιλεία μου γενέσθαι ἁρμάτωσιν ἀπὸ τῆς χώρας αὐτῆς κατὰ τῶν βενετίκων· ἐὰν δὲ γένηται ζημία, ἵνα διορθῶται ταύτην ἡ βασιλεία μου.

Ἵνα, ἐὰν κουρσάριοι βενέτικοι ποιήσωσι τινα ζημίαν εἰς τὴν χώραν τῆς βασιλείας μου, ἔνι ἔνοχος ὁ μπάϊλος καὶ οἱ ἰδικοὶ αὐτοῦ ἐπάνω εἰς τὸν ὅρκον αὐτῶν, ὅπως εὑρίσκωσιν αὐτοὺς καὶ κρατῶσι, καὶ ποιῶσι ποινὰς εἰς αὐτούς, καὶ ἐπαίρωσι τὸ πρᾶγμα τῶν ἀδικηθέντων καὶ ἐπιδῶσι πρὸς αὐτούς. ἄνευ μέντοι τῶν βενετικων τῶν κρατούντων νησία καὶ μὴ ὑποκειμένων τῇ Βενετίᾳ· ἐὰν δὲ καὶ ἀπὸ ἑτέρου γένους ἢ ἀπὸ τῶν νησίων τῶν ὡς εἴρηται μὴ ὑποκειμένων τῇ Βενετίᾳ ἔλθωσι κουρσάριοι κατὰ τῆς χώρας τῆς βασιλείας μου, οὐ μὴν δέχωνται αὐτοὺς ἢ εἰς χώραν αὐτῶν ἢ εἰς νησίον, ἀλλ' ἵνα μάχωνται καὶ ἀποδιώκωσιν αὐτούς, καθὼς καὶ οἱ τοῦ μέρους τῆς βασιλείας μου· ὅστις δὲ ἀναδέχεται τούτους, ἐὰν εὕρῃ τιμωρίαν ἀπὸ τῆς βασιλείας μου, οὐ μὴν ἐνέχεται ἡ βασιλεία μου εἰς τὸν ὅρκον χάριν τῆς παιδεύσεως τῶν τοιούτων.

Ἵνα, ἐὰν συμβῇ γενέσθαι τι σφάλμα ἀπὸ τοῦ μέρους τῆς Βενετίας εἰς τὸ μέρος τῆς βασιλείας μου, οὐ μὴν ἀπολύῃ ἡ βασιλεία μου τὴν ἀγάπην τοῦ εὐγενεστάτου δουκὸς Βενετίας καὶ τοῦ κουμουνίου αὐτῶν καὶ κινῆται εἰς μάχην, ἀλλ' ἵνα διαμηνύῃ τῷ εὐγενεστάτῳ δουκὶ Βενετίας καὶ τῷ κουμουνίῳ καὶ γίνηται παρ' αὐτῶν ἡ διόρθωσις· ὡσαύτως ἵνα, ἐὰν συμβῇ γενέσθαί τι σφάλμα παρὰ τοῦ μέρους τῆς βασιλείας μου εἰς τὸ μέρος τῆς Βενετίας, οὐ μὴν ἀπολύῃ ὁ δοὺξ τῆς Βενετίας καὶ τὸ κουμούνιον τὴν ἀγάπην τῆς βασιλείας μου καὶ κινῆται εἰς μάχην, ἀλλ' ἵνα διαμηνύῃ ὁ δοὺξ Βενετίας καὶ τὸ κουμούνιον τῇ βασιλείᾳ μου, καὶ γένηται παρὰ τῆς βασιλείας μου διόρθωσις· εἰ δὲ συμβῇ τὸν εὐγενέστατον δοῦκα Βενετίας τὸ κοινὸν λαβεῖν χρέος, ὅπερ ἀπεύχεται ἡ βασιλεία μου, ἵνα οἱ διάδοχοι τῆς ἐξουσίας τοῦ Δουκάτου τῆς Βενετίας καὶ τὸ κουμούνιον αὐτῶν καὶ ἡ μικρὰ καὶ μεγάλη βουλὴ στέργωσι τὰ τοιαῦτα κεφάλαια.

Ἅπερ δὴ κεφάλαια οὕτως ἐπωμόσατο ἡ βασιλεία μου ἐνώπιον τῶν διαληφθέντων εὐγενῶν δύο ἀνδρῶν καὶ ἀποκρισιαρίων, τοῦ τε σὺρ Ἰακώβου Δελφίνου καὶ τοῦ σὺρ Ἰακώβου Κονταρίνου, ὡς ἐμφανισάντων τῇ βασιλείᾳ μου τὴν ἣν εἶχον οὗτοι ἔγγραφον δύναμιν καὶ ἐξουσίαν ἀπὸ τοῦ Δουκὸς Βενετίας καὶ τοῦ Κουμουνίου εἰς τὸ τρακταῖσαι καὶ πληρῶσαι τὴν ἀγάπην μετὰ τῆς βασιλείας μου, ἥπερ δὴ γραφὴ ἐπὶ

λέξεων ἔχει οὕτως· «Ἡμεῖς Ραινέριος Ντζέ νος, Θεοῦ χάριτι Δοὺξ Βενετίας γνωστὸν ποι οῦμεν πᾶσι τοῖς τὸ παρὸν ἡμῶν ἔγγραφον θεωροῦσιν· ἐπεὶ τοῖς εὐγενέσι καὶ φρονίμοις ἀνδράσιν Ἰακώβῳ Δελφίνῳ καὶ Ἰακώβῳ Κον ταρίνῳ, τοῖς πιστοῖς ἡμῶν καὶ ἀγαπητοῖς, μετὰ τῆς μεγάλης καὶ μικρᾶς Βουλῆς τοῦ κουμουνίου τῆς Βενετίας ἀνεθέμεθα πληρεστάτην δύναμιν καὶ ἐξουσίαν αὐτοῖς ἐδώκαμεν ἐνεργεῖν τὰ πα ρόντα, ἤτοι τρικταῖσαι, συμβίβασιν ποιήσα σθαι μετὰ τοῦ ὑψηλοτάτου κὺρ Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστοῦ βασιλέως καὶ Αὐτοκρά τορος Ρωμαίων Δούκα Ἀγγέλου Κομνηνοῦ τοῦ Παλαιολόγου, καὶ γενέσθαι χρυσόβουλλα, καὶ πληρῶσαι καὶ στερεῆσαι μετὰ τοῦ ρηθέντος βα σιλέως, καθὼς αὐτοῖς φανῇ κρεῖττον, καὶ ποιῆσαι καὶ ἀναλαβεῖν ὑποσχέσεις καὶ ὁρκωμοτικὰ δι' ἡμᾶς καὶ τὸ κουμούνιον τῆς Βενετίας, καθὼς αὐτοῖς φανῇ κρεῖττον, καὶ γενικῶς καὶ διὰ πάντων ποιῆσαι εἰς τὰ προρηθέντα καὶ εἰς τὰ πλησιάζοντα αὐτοῖς, καθὼς ἂν αὐτοῖς φανῇ εὐ χερές. Ὑποσχόμεθα ἡμεῖς ἐν τῷ ὀνόματι ἡμῶν καὶ τοῦ κουμουνίου τῆς Βενετίας, ἔχειν εἰς ἡμᾶς τὸ στέργον καὶ ἀποδεκτέον καὶ στερεὸν καὶ οὐ μὴν ἐναντιωθῶμεν, κἂν εἶτε οἱ εὐγενέστατοι οὗτοι ἢ εἷς ἐξ αὐτῶν, εἰς ὃν φανῇ τὸ παρὸν ἔγγραφον συμβιβασθῶσιν εἰς τὰ προρηθέντα· καὶ ἵνα ἡ παροῦσα ἡμετέρα ἀνάθεσις ᾖ πληρεστάτη καὶ στερεά, ὡρίσαμεν καὶ ἐβουλλώθη αὕτη μετὰ ἡμετέρου μολυβδίνου σιγγιλίου, καὶ διὰ χειρῶν κορράδου τῆς ἡμετέρας Αὐλῆς κανικλείου ὡρί σαμεν καὶ ἐσημειώθη.

Ἐδόθη ἐν τῷ Παλατίῳ τοῦ ἡμετέρουΔουκάτου, τρέχοντος χρόνου τοῦ κυρίουχιλιοστοῦ διακοσιο στοῦ ἑξηκοστοῦ πέμπτου, μηνὶ Μαρτίου, ἡμέρᾳ δωδεκάτῃ, ἰνδικτιῶνος ἡ΄.

Ἐγὼ Κορράδος, νοτάριος τῆς δουκικῆς Αὐλῆς τῆς Βενετίας κανικλείου, ἐπλήρωσα καὶ ἐστε ρέωσα.»

Οὕτω μὲν οὖν εἶχε τὰ τῆς γραφῆς· Ἡ δέ γε βασιλεία μου οὕτως ὁμνύει φυλάξαι ταῦτα πάντα, ἐὰν καὶ ὁ εὐγενέστατος Δοὺξ Βενετίας καὶ τὸ κουμούνιον ταύτης καὶ ἡ μικρὰ καὶ με γάλη βουλὴ στέρξωσι καὶ φυλάξωσι ταῦτα εἴς τε τὴν βασιλείαν μου, εἰς τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ εἰς τὴν Ρωμανίαν ἀπαρά θραυστα.

Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς καὶ Αὐτοκράτωρ Ρωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος».

III. Συνθήκη συναφθεῖσα ἐν ἔτει 1275 μετα ξὺ τοῦ Αὐτοκράτορος Μιχαὴλ τοῦ Παλαιολόγου καὶ τῶν Γενουηνσίων· ἴδε Βυζαντινὰς Μελέτας τοῦ ἀειμνήστου πολυτίμου ἐξευρευνητοῦ τῶν Βυ ζαντινῶν ἐκκλησιῶν καὶ μνημείωνΠασπάτη σελ.

«Ἂν Γενουήνσιός τις ἢ Γενουήνσιοί τινες ἢ οἱ χαίροντες δικαιώματα Γενούηνσίων (οὕτως ἐλέ γοντο οἱ μετὰ τὰς capitulations λεγόμενοι protégés ἢ προστατευόμενοι) βλάψωσιν ἄνθρωπον ἢ ἀνθρώπους τοῦ Βυζαντινοῦ Κράτους ἐν λόγῳ, ἐν ἔργῳ, ἐν βουλῇ κτλ. νὰ τιμωρῶνται ἀπὸ τὸν Ποτεστάτον κατὰ τοὺς νόμους καὶ τὸ ἔγκλημα. Ἂν ὅμως ὁ Ποτεστάτος δὲν τιμωρήσῃ τοὺς ἐνό χους κατὰ τὸ δίκαιον, ὁ Αὐτοκράτωρ νὰ τιμωρή σῃ αὐτοὺς κατὰ τοὺς ποινικοὺς αὐτοῦ νόμους.»

«Ἂν Γενουήνσιοι προσέλθωσιν ὡπλισμένοι, εἴτε διὰ ξηρᾶς εἴτε διὰ θαλάσσης ὡς πειραταί, καὶ βλάψωσι γαίας ἢ ἀνθρώπους τοῦ Βυζαντινοῦ Κράτους καὶ συλληφθῶσι, νὰ τιμωρῶνται ἀπὸ τὸν Ποτεστάτον κατὰ τὸν νόμον, ὡς ἀνωτέρω ἐρρέθη. Ἂν ὅμως δὲν συλληφθῶσιν ἢ διαφύγω σιν, ὑποχρεοῦται ἡ Κοινότης τῆς Γενούης νὰ ἀποτίσῃ τὴν γενομένην ζημίαν εἰς τὰ πράγματα καὶ κτήματα τῶν ζημιωθέντων ἀπὸ τὰ κτήματα τῶν ζημιωσάντων.»

«Πρὸς τούτοις ὁ ἐν Ρωμανίᾳ (ἐντεῦθεν τὸ ροὺμμετὰ τὴν ἅλωσιν) στελλόμενος Ποτεστάτος ὡς ἀρχηγὸς τῶν Γενουηνσίων νὰ ἦναι ἀνὴρ τι μῶν τὸν Αὐτοκράτορα καὶ τὴν Κοινότητα τῆς Γενούης.»

«Ἂν Γενουήνσιός τις εὑρεθῇ λαμβάνων πρᾶγ μα ἄλλου μὴ ὄντος Γενουηνσίου καὶ ἐμπορεύη ται αὐτὸ ἐντὸς τοῦ Βυζαντινοῦ Κράτους ὡς πρᾶγμα ἴδιον, τὸ πρᾶγμα αὐτὸ ἢ τὸ ἐμπόρευμα καὶ ὁ κύριος αὐτοῦ νὰ ὑπάγωνται εἰς τὴν κρίσιν τοῦ Αὐτοκράτορος δυναμένου νὰ πράξῃ κατὰ τὴν θέλησιν αὐτοῦ.

«Ἂν Γενουήνσιος ἢ Γενουήνσιοι ἐξάξωσι λαθραίως ἐκ τοῦ Κράτους χρυσίον ἢ ἄργυρον καὶ συλληφθῶσι νὰ τιμωρῶνται ἀπὸ τὸν Ποτεστάτον κατὰ τὸν νόμον».

«Ἂν Γενουήνσιοί τινες ἐν τῷ Κράτει τοῦ Αὐτοκράτορος φονεύσωσι, βλάψωσιν ἢ ἄλλως

κακοποιήσωσι Γραικὸν ἢ ἕτερόν τινα ἀλλογενῆ διατελοῦντα ὑπὸ τὴν κυριαρχίαν τοῦ Αὐτοκράτορος, ὀφείλει ὁ Πατεστάτος ἐνόρκως νὰ ζητήσῃ τὸν κακοῦργον μετ' ἐπιμελείας καὶ ἄνευ δόλου καὶ τιμωρήσῃ αὐτὸν κατὰ τὸ κακούργημα. Ἂν ὅμως οὗτος διαφύγῃ, ὑποχρεοῦται ἡ Κοινότης νὰ ἱκανοποιήσῃ τοὺς ζημιωθέντας ἀπὸ τὰ κτήματα τοῦ κακούργου· ἂν ὄχι, νὰ ἱκανοποιήσῃ ἡ Κοινότης.

Ὁ Πρέσβυς ὑπογράψας τὸν ὅρον τοῦτον ἤ τηγεν ἵνα καὶ ὁ Αὐτοκράτωρ τὰ αὐτὰ πράξῃ κατὰ τῶν Γραικῶν κακοτοιούντων Γενουησίους.

Οἱ Γενουήνσιοι οἱ ἐξάγοντες ἐκ τοῦ Κράτους σῖτον καὶ ἄλλα τρόφιμα, νὰ κομίζωσι ταῦτα εἰς τὴν Κοινότητα τῆς Γενούης ἢ εἰς τὰς γαίας τῆς Κοινότητος οὐχὶ εἰς ἄλλην χώραν, τόπον ἢ λιμένα τῶν ἐχθρῶν τῆς Ρωμανίας.

(ἕπεται συνέχεια)

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

Η ΥΓΕΙΑ ΤΗΣ Α. Θ. ΠΑΝΑΓΙΟΤΗΤΟΣ

Μετὰ πολλῆς χαρᾶς εἴμεθα βέβαιοῦτι θὰ ἐνωτισθῇ τὸ ὁμογενὲς δημόσιον τὸ εὐχάριστον ἄγγελμα τῆς πλήρους καὶ ὁριστικῆς ἀποκαταστάσεως τῆς πολυτίμου ὑγείας τῆς Α. Θ. Παναγιότητος τοῦ οἰκ. πατριάρχου κ. κ. Γερμανοῦ τοῦ Ε'. Ἀπὸ τῆς παρελθούσης κυριακῆς ἡ Α.Θ. Παναγιότης κατέλιπε τὰ ἰδιαίτερα Αὐτῆς δώματα καὶ ἀνῆλθεν εἰς τὴν αἴθουσαν τῶν πατριαρχῶν, προήδρευσε δὲ ὡς γράφομεν κατωτέρω καὶ τῆς συνεδρίας τῆς Ι. Συνόδου τῇ παρελθούσῃ πέμπτῃ. Τὸ γεγονὸς τοῦτο ἰδιαιτέρως ἀνακουφίζει τὴν Ἐκκλησίαν καὶ τὸ Γένος, ἅτινα μετὰ πολλῆς προσοχῆς παρηκολούθησαν τὰς φάσεις τῆς ἐλαφρᾶς μὲν ἀλλ' ὀχληρᾶς ἀσθενείας τοῦ σεπτοῦ πρωθιεράρχου, ὅστις ἀποδίδεται πλήρης ἀκμῆς εἰς τὰς ὑψηλὰς Αὐτοῦ ἀσχολίας. Καὶ εἶναι μὲν ἀληθὲς ὅτι οὐδ' ἐπὶ στιγμὴν ἐπαύσατο ἡ Α. Θ. Π. παρακολουθοῦσα τὰ πατριαρχικὰ ἡμῶν πράγματα καὶ μεριμνῶσα περὶ αὐτῶν, ἡ δὲ σκέπη αὐτοῦ ἤρκει πρὸς ἀπρόσκοπτον λειτουργίαν τοῦ ἡμετέρου Κέντρου, οὐχ ἧττον ὁ σεπτὸς ἐθνάρχης διέβλεπε τὴν ἀνάγκην ὅπως καταστήσῃ αἰσθητὴν ἐν ἁπάσῃ αὐτῆς τῇ δυνάμει τὴν στιβαρὰν αὐτοῦ χεῖρα, καθίσταται δὲ ἀφορμὴ ἰδιαζούσης χαρᾶς καὶ παρηγορίας ἡ τοιαύτη αὐτοπρόσωπος ὑπὸ τῆς Α. Θ. Παναγιότητος ἀνάληψις τῆς διευθύνσεως τῆς πατριαρχικῆς ἡμῶν ὁλκάδος.

Ἡ «Ἐκκλησιαστικὴ Ἀλήθεια» ἀναγράφουσα μετὰ πολλῆς συγκινήσεως τὸ εὐχάριστον τοῦτο γεγονός, εὔχεται ὑπὲρ ἀκλονήτου ὑγείας τοῦ σεπτοῦ πρωθιεράρχου καὶ ἀπαλλαγῆς Αὐτοῦ ἀπὸ παντὸς ἀνιαροῦ συναντήματος.

Συνεδρία Ι. Συνόδου. Ὑπὸ τὴν προεδρείαν τῆς Α. Θ. Παναγιότητος συνῆλθε τῇ παρελθούσῃ πέμπτῃ ἡ ἁγία καὶ ἱερὰ Σύνοδος, ἐπιληφθεῖσα τῆς ἀναγνώσεως διαφόρων μητροπολιτικῶν ἐκθέσεων, ἐκθέσεως τῆς ἐκπαιδευτικῆς ἐπιτροπῆς καὶ ἐκθέσεως τῆς πρό τινος διορισθείσης ἐπιτροπῆς ἐκ τῶν σεβασμιωτάτων μητροπολιτῶν Βασιλείου καὶ Πολυκάρπου καὶ τῶν πανιερ. σχολαρχῶν τῆς Θεολογικῆς καὶ Μ. τοῦ Γ. Σχολῆς πρὸς διαρρύθμισιν ταῦ προγράμματος τῆς Ἰ. Θεολογικῆς Σχολῆς. Ἐπὶ τῆς τελευταίας ταύτης ἐκθέσεως ἀπεφασίσθη ὅπως ἡ ἐφαρμογὴ τῶν προτεινομένων μέτρων ἀναβληθῇ εἰς εὐθετώτερον καιρόν, μὴ προσληφθῶσι δὲ ἐφέτος νέοι μαθηταὶ ἐν τῇ Σχολῇ.

Κατὰ τὴν συνεδρίαν ταύτην ἀνεγνώσθη καὶ ἀπάντησις τοῦ μακ. πατριάρχου κ. Γρηγορίου εἰς τὴν περὶ εἰρήνης ἐγκύκλιον τῆς Μ. τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἄφιξις μητροπολίτου. Τυχὼν τῆς ἐπὶ τούτῳ ἀδείας ἀφίκετο τὸ παρελθὸν σάββατον εἰς Βασιλεύουσαν, προερχόμενος ἐκ Ραιδεστοῦ, ὁ πανιερ. μητροπολίτης κ. Κωνσταντῖνος. Προσελθὼν οὗτος ἀμέσως παρὰ τῇ Α. Θ. Παναγιότητι ὑπέβαλε τὰ εὐλαβῆ αὐτοῦ σέβη ἐπὶ τῇ ἀφίξει αὐτοῦ καὶ ἐξέθηκε τὰς ἀνάγκας τοῦ ποιμνίου αὐτοῦ.

Μ. τοῦ Γ. Σχολή. Ὑπεβλήθη τῇ Α. Θ. Παναγιότητι, παραπεμφθεῖσα ὑπ' Αὐτῆς τῇ ἁγίᾳ καὶ ἱερᾷ Συνόδῳ καὶ ἀναγνωσθεῖσα κατὰ τὴν συνεδρίαν αὐτῆς τῆς παρελθούσης τρίτης, ἔκθεσις τῆς ἐφορείας τῆς Πατριαρχικῆς Μ. τοῦ Γ. Σχολῆς, δι' ἧς ἐκτίθεται ἡ δυσχερὴς οἰκονομικὴ κατάστασις τοῦ ἀνωτάτου τούτου ἐκπαιδευτικοῦ ἡμῶν καθιδρύματος.

Δ. Ε. Μ. Συμβούλιον. Συνελθὸν εἰς τὰς τακτικὰς αὐτοῦ συνεδρίας τὸ Δ. Ε. Μ. Συμβούλιον ἐπληφθη τῆς ἀναγνώσεως διαφόρων ἐκθέσεων ἐκ τῶν ἐπαρχιῶν περὶ οἰκονομικῶν ἀναγκῶν καὶ ἐψήφισε διάφορα ποσὰ πρὸς κάλυψιν αὐτῶν.

ΔΗΛΩΣΙΣ

Γνωρίζεται τοῖς ἐνδιαφερομένοις ὅτι τὸ ἐν τοῖς Πατριαρχείοις Πνευματικὸν δικαστήριον τοῦ λοιποῦ ἀντὶ τῆς δευτέρας θὰ συνεδριάζῃ ἑκάστην πέμπτην καὶ περὶ ὥραν 2 μ. μ. εὐρωπαϊστί.

Ἐκ τοῦ γραφείου τοῦ Πνευματικοῦ δικαστηρίου

Περιεχόμενα:

Θεοδώρου τοῦ Βαλσαμῶνος λύσεων κανονικῶν διάφοροι γραφαί — Μιλτ. Καραβοκυροῦ Τὰ δίκαια (νόμοι) καὶ τὰ δικαστήρια ἐν Τουρκίᾳ (συνέχεια) — Ἐκκλησιαστικὰ χρονικά.

Ὑπεύθυνος Μ. Ι. ΓΕΔΕΩΝ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

ΕΤΟΣ ΛΕ'. 6 Ἰουνίου 1915 ΑΡΙΘΜ. 23

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ
ΑΛΗΘΕΙΑ

ΕΚΔΙΔΟΜΕΝΗ ΑΠΑΞ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

ΔΙΕΥΘΥΝΟΥΣΑ ΕΠΙΤΡΟΠΗ

† Ὁ ΜΗΤΡΟΠΟΛΙΤΗΣ Αἴνου ΙΩΑΚΕΙΜ (Πρόεδρος)
† Ὁ ΑΡΧΙΓΡΑΜΜΑΤΕΥΣ τῆς Ι. Συνόδου ἀρχιμ. ΔΙΟΝΥΣΙΟΣ
Μ. Βασιλείου Β' γραμματεὺς τοῦ Δ. Ε. Μ. Συμβουλίου
† Ὁ Μέγας Πρωτοσύγκελλος ΚΑΛΛΙΝΙΚΟΣ
Χρ. Παπαϊωάννου Α' γραμματεὺς τοῦ πατριαρχ. γραφείου
Κ. Ἰωαννίδης ἀρχιλογιστὴς τῶν Πατριαρχείων

Ἐπίτιμος διευθυντὴς καὶ συντάκτης ὁ Μ. χαρτοφύλαξ καὶ χρονογράφος τῆς τοῦ Χρ. Μ. Ἐκκλησίας Μ. Ι. ΓΕΔΕΩΝ
Ἀρχισυντάκτης ΑΛΕΞΑΝΔΡΟΣ Ι. ΜΕΛΙΔΗΣ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ
ΛΥΣΕΩΝ ΚΑΝΟΝΙΚΩΝ ΔΙΑΦΟΡΟΙ ΓΡΑΦΑΙ

(συνέχειαν βλέπε εἰς 22 τεῦχος)

Τὸ συνοπτικὸν τῶν ἐκδιδομένων ὧδε λύσεων ἠδύνατο 'να πείσῃ τινὰς ὅτι παρίστησιν ἡ συνιστᾷ τὴν πρώτην μορφήν, ὑφ' ἣν ὑπεβλήθη τῇ συνόδῳ τῇ παρὰ τῷ πατριάρχῃ Γ'εωργίῳ τῷ Ξιφιλίνῳ ἡ συλλογὴ πᾶσα τῶν ἑξήκοντα ἓξ ἢ ἑβδομήκοντα ἐπιλύσεων· διότι ἡ παρ' ἐμὲ πέμπτη καὶ ἡ ἕκτη καὶ ἡ ἑβδόμη τῶν κανονικῶν τούτων ἀποκρίσεων μίαν ἀπαρτίζει σχεδὸν κατὰ τὴν ἔκδοσιν Πετλῆ καὶ Ράλλη, τὴν τρίτην, οὐ κειμένην ἐν τῇ πολυτιμήτῳ ἐκδόσει τοῦ Λεουγκλαβίου· Τινὰς τῶν παρ' ἐμοὶ κανονικῶν τούτων λύσεων — ὀλιγίστας, ὡς ἀνήγγειλα ἀνωτέρω — ἀντιβάλλω πρὸς τὴν ἔκδοσιν τοῦ Λεουγκλαβίου, κατὰ τὸ χειρόγραφον, ὅπερ ἐπιγράφω «Δοσιθέου», οὐχὶ διότι ἐγράφη ὑπ' αὐτοῦ ἢ κατ' ἐντολὴν τοῦ ἀειμνήστου τούτου πατριάρχου, ἀλλὰ διότι περιεσώθη ἐν τῇ ἀξιοτίμῳ «Νομικῇ Συναγωγῇ», προταττόμενον μὲν πάντων τῶν ἀποτεθησαυρισμένων ἐν αὐτῇ πατριαρχικῶν γραμμάτων, γεγραμμένον δὲ χειρὶ πολλοῖς ἔτεσι προγενεστέρᾳ τῶν χρόνων, καθ' οὓς ὁ Δοσίθεος ἤκμασεν. Ὅπου παρίστατα ἀνάγκη παρασημειώσεων, ἐξηγήσεων, ἢ διορθώσεώς τινος, προβαίνω εἰς αὐτὴν, καθ' ὅσον οἱ κανόνες τοῦ γράφειν ἀπαιτοῦσιν, ἢ τὸ νόημα κανονικῶν ἑτέρων ἐπιλύσεων, ἀγνώστους ἢ γνωστοὺς συγγραφεῖς ἐχουσῶν καί ποτε περίεργον καὶ ἀνεξήγητον τὸ περιεχόμενον, ἀποδεικνύον ὅτι πρέπει 'να καταταχθῶσιν αἱ τοιαῦται δήθεν κανονικαὶ λύσεις ἐκεῖ, ὅπου παραπέμπομεν τὰ φερόμενα ἐπ' ὀνόματι τοῦ θείου εὐαγγελιστοῦ Λουκᾶ ἰατροσόφια·

ἡ σειρὰ τῶν τοῦ Βαλσαμῶνος ἐπιλύσεων, κατὰ τὸ παρ' ἐμοὶ κείμενον, ἔστιν αὕτη

Ε'. Ἅγιόν ἐστιν ἡ ἐνδυτή;

Λύσις. Μετὰ τὸ εἰς τὸ θεῖον ὑπουργῆσαι θυσιαστήριον, εἴτε σκεῦος ἦν, εἴτε ὕφασμα, ἡγίασται, καὶ ὡς ἅγιον καὶ ἔστι καὶ λέγεται καὶ μετέχει χάριτος καὶ μεταδίδωσι· καὶ πῶς γὰρ οὔ, ὅτε καὶ τὰ σουδάρια τῶν ἀποστόλων ἐθαυματούργουν καὶ τὰ σημικίνθια.

ΣΤ'. Τὸ ἄγγειον τῆς κολυμβήθρας δέον ἁγιασθῆναι πρὸ τοῦ γενέσθαι τὸ βάπτισμα;

Λύσις. Οὐκέτι τούτῳ χρεία ἁγιασμοῦ· οὐ γὰρ ρυπᾶται ἐκ τοῦ ἁγίου βαπτίσματος, ἀλλὰ τὰ ρύπη ἐκβάλλει· πλὴν ἁγιασθέν, μὴ αὖθις κοινωθήτω.

Ζ'. Ἡ λαβὶς τοῦ σώματος ἔχει ἁγιασμὸν πρὸ τοῦ χρῆσθαι ταύτῃ εἰς τὸ ἅγιον θυσιαστήριον;

Λύσις. Οὐχ ἡγίασται, πρὶν ἢ τὸν θεῖον ἄνθρακα δέξασθαι· εἰ μήπω τούτῳ σταυρὸς ἐγκεχάρακται· πλὴν ἐπείπερ εἰς τὴν τοιαύτην ἱερουργ[ικὴν] ὑπηρεσίαν διοργανωθὲν ἀφορίζεται, οὐκ εὐπρεπὲς εἰς ἀνθρωπίνην ὑποβιβασθῆναι χρείαν· τὰ γὰρ ἐν τῷ ὀνόματι τοῦ Θεοῦ προϋποτετυπωμένα οὐ θέμις ἀποξενοῦσθαι αὐτοῦ, καθά με εἰς τὴν τοιαύτην δόξαν ἐνάγει τό τε εὐαγγελι-

κὸν τοῦ μύρου ἀλάβαστρον· οὐ γὰρ ὅσιον λελόγισται δοθῆναι τοῦτο πτωχοῖς, μετὰ τὸ τῷ Θεῷ ἀφοσιωθῆναι· καὶ ἡ ἐν τῷ παλαιῷ χρυσῆ γλῶσσα, ἣν ὁ Ἄχαρ* σεσύληκεν, εἰ γὰρ καὶ ἔτι μὴ καθηγίασται, ὅμως ὅτι τῷ Θεῷ καθιέρωτο, ὡς ἱερόσυλος οὗτος κέκριται.

Η'. Βιβλία παρ' ἡμῖν νόμιμα οὐκ εἰσί, καὶ οὐ κρίνομεν κατ' αὐτὰ, ἀλλὰ κατὰ τοὺς κανόνας. Ἆρα κριματιζόμεθα;

Ἀπόκρισις. Ρωμαίων μὲν γνωμικὸν φθέγμα μὴ δεῖν ἄνδρα νόμον ἀγνοεῖν, ὡς ἐμαυτὸν πείθω, ἵν' οἱ ρωμαῖοι νομοτρίβαι γίνωνται καὶ μαθητιῶσιν ἐπιμελῶς· τέως δὲ καὶ ἐκεῖνον ὑπολαμβάνω δεῖν νόμον μὴ ἀγνοεῖν τὸν τετριμμένον καὶ καθ' ἑκάστην πολιτευόμενον· τῶν δ' ἡμετέρων θεοφόρων πατέρων κανονικὸν θέσμιον τὸ τὰ ἱερὰ ἐξεπίστασθαι λόγια καὶ εἶναι τὸν ἀρχιερέα πρὸ πάντων ἴδρυν καὶ ἑρμηνευτὴν κυρίως καὶ πρώτως τῶν δαυϊτικῶν καὶ εὐαγγελικῶν καὶ ἀποστολικῶν γραφῶν· οὐσία γάρ, φησὶν, ἱερέως τὰ θεοπαράδοτα λόγια· τῇ γοῦν μελέτῃ τούτων τὸ πῦρ δαυϊτικῶς ἐκκαυέσθωσοι, καὶ οἱ κανόνες ἀναπτυσσέσθωσαν καὶ ἐνδελεχῶς ἐρευνάσθωσαν, καὶ ἔξεις ἐξ αὐτῶν περίσασθαι καὶ λόγον κρίσεως· ἐμέλησε γὰρ αὐτοῖς διευθετῆσαι καὶ τὰ εἰς εὐνομίαν πολιτογραφούμενα.

Θ'. Εἰκός ἐστι λαθεῖν τινὰ τόκον ἢ οὔ;

Ἀπόκρισις. Οἱ μὲν ἅγιοι πατέρες μὴ ὅτι γε οὐκ ἐνδιδόασιν ὅλως, ἀλλὰ καὶ ὀξύνουσι κατὰ τῶν τοκιστῶν τὴν τοῦ Πνεύματος μάχαιραν, οὐκ εἰ ἐκφοροῦντες αὐτὴν· τῶν γὰρ ἐμψύχων φασὶ τὸ τίκτειν καὶ τὸ αὐξάνεσθαι καὶ πληθύνεσθαι· οἱ δὲ πολιτικοὶ νομοθέτει ἐκχωροῦσι, καὶ οὗτοι μόνοις τοῖς λαϊκοῖς. Σὺ δὲ ὀφείλεις προσκεῖσθαι τῷ νόμῳ τῶν ἁγίων πατέρων.

ΙΑ'. Εἰκὸς ἦν ἱερατεύειν ἡμᾶς κατὰ τὴν βιάλεκτον ἡμῶν ἢ οὔ;

Ἀπόκρισις. Τὸ ἑτερόδοξον βλαβερόν· οὐ τὸ ἑτερόγλωσσον· εἰ τοίνυν ἔστι σοι τῷ ἡμῖν ὁμοδόξῳ καὶ ὁμόφρονι τὰ πάντα σύστοιχα, ὁ νοῦς, ὁ λόγος, ὁ προφορικὸς, τὸ γράμμα, ἀγαπητέα ἡ τοιαύτη ἕνταιτος σειρά. Εἰ δέ γε οἱ ἐκκλησιάζοντες ἰδιαγενεῖς ζητοῦσι τὰς ἐκφωνήσεις κατὰ τὴν ἐγχώριον διάλεκτον, ἵνα ἀκούωσι καὶ τὰ νενομισμένα ἀποκρίνωνται, ἀκίνδυνόν σοι τὸ κατὰ τὴν γλῶτταν αὐτῶν ἱερουργεῖν· τάχα τοῖς ἡμετέροις ρωμαίοις συνεκκλησιάζουσι θλιβερὸν καὶ ὄκνον ποιοῦν εἰς τὸ σχολάζειν τῇ προσευχῇ, ὅμως εὔκταιον ἦν εἴπερ μία φωνὴ ἐξηχουμένη μεμέριστο εἰς διαφόρους γλώττας κατὰ τὰ σημεῖα τοῦ Θεοῦ· τοῦτο γὰρ ἔπρεπεν ὧδε τερατουργούμενον· ἐπεὶ δὲ οὐκ ἔστι τοῦτο, χαρίζου ἔστιν ὅτε καὶ ρωμαίοις, εἰ δύνασαι, τὴν συνήθη γλῶτταν αὐτοῖς.

ΙΒ'. Ἂν τις ἀρραβωνισθῇ γυναικὶ καὶ τελευτήσῃ, καὶ οὐ ταύτην εὐλογηθῇ, ἵνα ἐπάρῃ ταύτην ὁ ἀδελφὸς αὐτοῦ;

Ἀπόκρισις. Ἦν μὲν Μωσέως διάταγμα ἐκχωροῦν τῷ ἀδελφῷ λαμβάνειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἀποθανόντος ἄπαιδος, ἐφ' ᾧ ἀναστῆσαι αὐτῷ σπέρμα, καὶ τὸ τοιοῦτον ἐπολιτεύετο θέσμιον, κατὰ τὸ γράμμα, ἔχον καὶ μυστήριον ἔνδον, τὸ τὰ ἀσθενῆ δηλονότι τοῦ παλαιοῦ νόμου καὶ ἀτελῆ τελειῶσαι τὸν νέον καὶ εὐαγγελικὸν νόμον· ἀδελφὸς γὰρ οὗτος, ὅτι καὶ ἀμφοτέρων εἰς νομοθέτης ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Καὶ τοιοῦτος μὲν ὁ μωσαϊκὸς νόμος· ὁ δὲ τῆς νέας χάριτος μή τοι γε λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ οὐ παραχωρεῖ τῷ ἀδελφῷ, ἀλλ' οὐδὲ τὴν μνηστὴν αὐτοῦ· ἐξισάζεται γὰρ κατὰ τὴν κώλυσιν καὶ ἡ μνηστεία τῷ γάμῳ, εἰ καὶ μὴ μίξις γέγονεν.

ΚΕΙΜΕΝΟΝ ΛΕΥΓΚΑΔΙΟΥ

Ἐρώτησις Ζ'—Ἠρραβωνίσατό τις γυναῖκα, καὶ ἐτελεύτησε πρὸ τοῦ ἱερολογηθῆναι μετ' αὐτῆς, ὡς νενόμισται, καὶ πρὸ τοῦ συναφθῆναι αὐτῇ· ἀκίνδυνόν ἐστι ταύτην λαβεῖν τὸν τούτου ἀδελφὸν, ἢ οὔ;

Ἀπόκρισις—Τὸ καλὸν οὐκ ἔστι καλὸν, εἰ μὴ καλῶς γένηται. Εἰ γοῦν ἡ μνηστεία, ἤτοι ὁ ἀρραβὼν, ἐτελέσθη κατὰ τὴν ὑποτύπωσιν τῆς νεαρᾶς νομοθεσίας* τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, μετὰ τελετῆς τῶν συνήθων ἁγίων εὐχῶν, τῆς γυναικὸς οὔσης δωδεκαετοῦς, τοῦ δὲ ἀνδρὸς τὸν τεσσαρεσκαιδεκάτον χρόνον ἀνύσαντος, οὐ λήψεται ταύτην εἰς γάμιον ὁ ἀδελφὸς αὐτοῦ· ὁ γὰρ οὕτω τελεσθεὶς ἀρραβὼν ἐν πᾶσι τῷ νομίμῳ γάμῳ ταὐτίζεται. Εἰ δὲ, κατὰ τὴν κρατοῦσαν συνήθειαν, ὡς μανθάνομεν, εἰς πάντα σχεδὸν τὰ μέρη τοῦ νότου καὶ τῆς ἀνατολῆς ἀλλοτρόπως ὁ θανὼν τὴν περιοῦσαν ἠρραβωνίσατο, συζευχθείη νομίμως αὐτῇ ὁ τούτου αὐτάδελφος.

ΙΓ'. Ἂν τις ἀρραβωνισθῇ γυναῖκα καὶ τελευτήσῃ καὶ ἐπάρῃ ἄλλην, εἰκὸς ἐστι ψηφισθῆναι εἰς ἱερατικὴν τάξιν;

Ἀπόκρισις. Γέγραπται δύναμιν ἔχειν γάμου καὶ τὴν μνηστείαν· εἰ τοίνυν καὶ αἱ μνηστεῖαι ἡμῶν κατὰ τὸν ἡμέτερον νόμον ἐμπεδοῦνται συμβολαίοις νομίμοις καὶ ἱερολογίαις ἀρτιοῦνται, οὐκ ἐκχωρηθήσεται εἰς δευτέραν συζυγίαν ἐλθεῖν, εἰ βούλεται ἱερατεῦσαι· ὡς διγα-

* Ἰησοῦς Ναυῆ. Ζ, 21.

* βασίζει τὸν λόγον ἐπὶ τῆς τοῦ Κομνηνοῦ νεαρᾶς τῆς ἐν Ἰουνίῳ μηνὶ τοῦ ἔτους ,στοϛβ (1184) ἀπολυθείσης ταύτην δὲ, καθὼς καὶ τὴν νέαν νεαράν, ἐπικυροῦσαν τὴν προτέραν «ἐπιτάττουσιν ἅλυτον μένειν τὴν μεθ' ἱερολογίας προβαίνουσαν μνηστείαν» ἀνέγνωθι ἐν τῷ κατὰ Λίγενθαλ Ζαχαρίᾳ Γραικορωμαϊκῷ Νομίμῳ, τῷ μετατυπωθέντι φιλοτίμως, ἀλλ' οὐχὶ καὶ φιλοπόνως, ὑπὸ τοῦ κ. Ἰω. Δ. Ζέπου· σελ. 263 καὶ 270. ἧς προηγεῖται ὑπόμνησις Ἰωάννου Θρακησίου τοῦ κουροπαλάτου, τὴν ἐπὶ τῆς προκειμένης ὑποθέσεως διχογνωμίαν τῶν δικαστῶν ἀφηγουμένη

μήσας γὰρ λογίζεται· διγάμῳ δὲ ἀπηγόρευται τὸ ἱεράτευμα.

ΚΕΙΜΕΝΟΝ ΛΕΟΥΓΚΛΑΒΙΟΥ

Ἐρώτησις Η'—Ἀπροκριματίστως διακονικοῦ ἢ ἱερατικοῦ βαθμοῦ ἀξιωθείη ὁ διὰ τὸ τελευτῆσαι τὴν μνηστευθεῖσαν αὐτῷ ἑτέραν σύμβιον ἀγαγόμενος, ἢ ὡς δίγαμος κωλυθήσεται;

Ἀπόκρισις—Εἰ μὲν, κατὰ τὴν τῆς ῥηθείσης νεαρᾶς ὑποτύπωσιν, ἥρραβωνίσατο τὴν ἀποιχομένην μνηστὴν, ἑτέρᾳ γυναικὶ μετὰ τὸν ταύτης θάνατον συζευχθείς, οὐκ ἀξιωθείη βαθμοῦ τινὸς τῶν τοῦ βήματος· δίγαμος γὰρ λογίζεται. Εἰ δὲ, παρὰ τὴν ταύτης περίληψιν, τὸ τελευταῖον ἐμνηστεύσατο γύναιον, ἀπαρεμποδίστως ἱερωθήσεται, ὡς μὴ λογιζόμενος δίγαμος.

ΙΑ'. Ἐὰν ἀποκαρῇ ὁ ἱερεὺς, ὀφείλει ἱερατεύειν;

Λύσις. Εἰς μὲν τὸν ἀρχιερέα κανών ἐστι λέγων, μὴ χρῆναι αὐτὸν, ἑκουσίως ἀποκαρέντα, ἐπὶ τῆς ἀρχιερωσύνης καὶ πάλιν μένειν. Οὐ γὰρ ἔοικε τὸν συνθέμενον αὐθαιρέτως ὑποτετάχθαι τῷ προϊσταμένῳ τῆς ἐν ᾗ ἀπεκάρη μονῆς τοῦτο καὶ τὸν αὐτὸν (α) εἶναι καὶ ἄρχοντα λαοῦ καὶ ποιμένα καὶ διδάσκαλον· εἰς τὸν ἱερέα νόμος ἐν τῇ βίβλῳ τῶν κανόνων τοιοῦτος οὐχ εὑρίσκεται ἀπείργων αὐτὸν μετὰ τὴν μοναχικὴν κουρὰν τοῦ ἱερουργεῖν ὡς τὸ πρότερον, ὅτι μηδ' ἔστι τὴν αὐτὴν αἰτίαν ἐπιγράψασθαι καὶ τῷ ἱερεῖ Κυρίου, ἣν καὶ τῷ ἀρχιερεῖ· τάχα δ' ἄν τις ἀκριβολογούμενος φαίη ὡς καὶ ὁ ἱερεὺς ὑψηλολογεῖται καὶ προεδρεύει καὶ ἀξίωμα φέρει· εἰ δὲ [ἡ] κατὰ μοναχοὺς κουρὰ μετανοίας ἦν ἐχέγγυον καὶ ταπεινώσεως σύμβολον, καὶ ἐπεὶ ἀπεκάρη, χρὴ ἀποβαλέσθαι τὸ ἀξίωμα, ἀλλ' οὐθ' ἡ τοιαύτη αἰτία κατὰ πάντα ἐξίσωται, οὔτε γέγραπται· χρὴ δὲ τὸν νόμον ἑκλαμβάνεσθαι ὅπου ἐκπεφώνηται· διότι οὐκ ὀφείλει ὁ ἱερεὺς ἐκπεσεῖσθαι μετὰ τὸ ἀποκαρῆναι τὴν ἱερατικὴν τιμὴν, καὶ μᾶλλον ἐνάδειλον ταύτην τετήρηκεν.

ΕΧΟΔΙΟΝ ΕΧΟΝ ΕΙΣ ΤΗΝ

ἐρώτησιν Θ'.—Ἱερεὺς, ἐὰν ἀποκαρῇ, ἐκχωρηθείη ἱερουργεῖν μετὰ τὴν ἀπόκαρσιν, ἢ οὔ;

Ἡ ἀπόκρισίς ἐστι τοσοῦτον ἐπιμήκης, ὥστε 'ν' ἀπαιτήσῃ λόγον μακρὸν, ἴδιον. Ἐπὶ τοῦ θέματος τούτου πράγματι δέον 'να γραφῶσι περισσότερα τῶν παρά τε Δοσιθέῳ καὶ Λεουγκλαβίῳ. Χάριν δὲ τῶν ὀλιγίστων ὁμογενῶν, ὀλιγιστοτάτων, ὅσοι περὶ τὸ κανονικὸν ἀσχολοῦνται δίκαιον, ἐκδίδωμι προσεχῶς ἐν τῇ «Ἐκκλ. Ἀληθείᾳ» βραχεῖαν διατριβὴν ἐξετάζουσαν τὸν ἀνύπαρκτον ζῶσς Ε' τῆς Δ' συνόδου.

ΙΖ'. Ἐάν τις λειτουργήσῃ, ὀφείλει λουσθῆναι;

Λύσις. Οὐ κινδυνῶδες μὲν, ὅμως ὅτι τῆς σωματικῆς εὐπαθείας καὶ τρυφερείας τὸ λοῦμα, κεκανόνισται δὲ ἡμῖν κατὰ τὴν ἡμέραν τῆς ἁγίας μεταλήψεως καὶ μετὰ τὴν μετάληψιν τῇ προσευχῇ σχολάζειν, οὐκ ἐπιτρεπτέον, εἰ μή με πάθος ὀχλήσεως καὶ ἀπαιτήσει τὴν τοῦ λουτροῦ θεραπείαν.

ΚΕΙΜΕΝΟΝ ΛΕΟΥΓΚΛΑΒΙΟΥ

Ἐρώτησις ΙΒ'.—Ἐὰν ἱερεὺς λουσθῇ δύναται κατὰ τὴν αὐτὴν ἡμέραν ἱερουργῆσαι; Καὶ λαϊκὸς μετὰ τὸ ἀπελθεῖν εἰς βαλανεῖον ἐκχωρηθείη αὐθημερὸν τῶν μυστηρίων μεταλαβεῖν; Καὶ ἐκ τοῦ ἐναντίου· ἱεροτελεστήσας ὁ ἱερεὺς, ἢ ὁ λαϊκὸς θείων ἁγιασμάτων ἀξιωθεὶς, λουσθήσεται, ἢ φλεβομηθήσεται, ἢ οὔ;

Ἀπόκρισις— Ὁ ἐν ἰατροῖς διδασκαλικώτατος Γαληνὸς, βαλανεῖον, φησὶ καὶ ἥλιος καὶ γυμνάσιον εἰς κίνησιν ἑξορμᾷ τὰ τέως ἡσυχάζοντα περιττώματα· Διὸ οὐδὲν ἐξ ὧν ἠρώτησας γενήσεται. Καὶ αἱ τομαὶ γὰρ τῶν φλεβῶν ἐλέγχουσι τὰς τούτων κακίας καὶ ἰδιότητος, κατὰ τὰ Ἱπποκράτεια δόγματα, ποτὲ μὲν κυΐσκουσαι διαφόρησιν, ποτὲ δὲ μᾶλλον στεγάνωσιν. Ἵνα τί γοῦν προσδοκήσιμον ἴσως κακὸν τῇ σωτηριώδει τῶν ἁγιασμάτων μεθέξει συνάψωμεν, καὶ ῥαθυμίᾳ τὸ φῶς τῆς ἡμῶν σωτηρίας ἐπηλυγάσωμεν, ὅπου γε τοὺς ἱερουργοῦντας δίκαιος λόγος καταναγκάζει καὶ πρὸ τῆς ἱερουργίας μετὰ πάσης κατανύξεως καὶ εὐλαβείας γονυκλιτεῖν πρὸς Θεὸν καὶ εὐχαριστεῖν, χάριν τῆς μεταλήψεως καὶ μὴ θρύπτεσθαι βλακείαις καὶ ραντισμοῖς ὕδάτων θερμῶν. Εἰ δὲ τὴν φλεβοτομίαν κατεπείγει θανάσιμον νόσημα, διὰ τὴν σωτηρίαν τοῦ κάμνοντος τελεσθήσεται.

Βλέπει λοιπὸν ὁ ἀναγνώστης ὅτι, αἱ παρ' ἐμοὶ ἐρωτήσεις καὶ λύσεις ΙΖ' καὶ ΙΗ' παρὰ τῷ Λεουγκλαβίῳ καὶ τοῖς Ράλλῃ καὶ Ποτλῇ συνεπτυγμέναι εἰσὶν εἰς μίαν· ἀλλ' ἡ ΙΖ' καὶ ἐνταῦθα φλυναφῶς ἐκτίθεται παρὰ ταῖς προγενεστέραις ἐκδόσεσι δῆλά γε δὴ, καὶ πλατύτερον ἀναπτύσσεται ἐν τῇ ΝΓ' τοῦ Βαλσαμῶνος τῇ κειμένῃ ἐν Δ' τόμῳ τοῦ «Συντάγματος τῶν ἱερῶν κανόνων». Τὸ ἐμὸν κείμενον δύναται 'να θεωρηθῇ λίαν εὐληπτον, μεθ' ὅλην τὴν παρατηρουμένην ἐν αὐτῷ συντομίαν· ἄλλως — ὃ καὶ περιττὸν 'να εἰπω — τὸ πνεῦμα τῶν ἐπιλύσεων ἐστὶ τὸ αὐτὸ, ἀγνοῶ δὲ ἐὰν ἡ μετὰ τὴν ἐπεξεργασίαν προελθοῦσα μορφὴ τῶν κανονικῶν τούτων ἀποκρίσεων δεικνύηται μᾶλλον εὐνόητος τῆς πρώτης.

Ἐξακολουθοῦμεν τὴν ἔκδοσιν ἀπὸ τῆς ΙΗ'

ΙΗ'. Εἴ τις μεταλάβῃ ὀφείλει φλεβοτομῆσαι;

Λύσις. Τὰ μὲν ἅγια δῶρα ἱερωθέντα οὐχ ὑλοποιοῦνται καὶ εἰς αἷμα ἀλλοιοῦνται, ἢ εἰς πρόσθεσιν καὶ αὔξησιν σώματος, ἢ εἰς τὸ μὴ ὂν χωρεῖ· ἀλλ' ἐγκιρνῶνται μὲν θεωδῶς κατὰ τοὺς ἁγίους πατέρας καὶ συμπλέκονται ἀρρήτως τῇ ψυχῇ καὶ τῷ σώματι, τη-

α—δρθότερον γρπτ. "τοῦτον κατὰ ταὐτόν,,.

ροῦνται δὲ ἀνώλεθρα καὶ ἀνάλωτα καὶ ἀπαθῆ εἰς φυλακτήριον τῆς ἀναστάσεως· καὶ φόβος ἐγχυμίσεως καὶ ἀπορροῆς οὐκ ἦν, ἄπαγε τῆς ἀθεΐας· Ὅθεν καὶ οὐ κεκώλυται ἡ φλεβοτομία, εἴπερ πάθος σωματικὸν ὀχλήσῃ καὶ ζητηθήσεται ἡ αἱμόρροια.

ΙΘ. Εἴ τις μεταλάβῃ καὶ ἐμέσῃ, τί δεῖ ποιῆσαι;

Λύσις. Εἰ μὲν ἀπὸ ἀπληστίας, ἐπιτιμάσθω, διὰ τὸ ἔκτροπον τοῦ καθήκοντος· οὐ γὰρ ἀκόλαστον τὸ ἀσύμμετρον· εἰ δὲ ἀπὸ ἀσθενείας σωματικῆς, συγγνωμονείσθω.

Κ'. Ὀφείλει λειτουργεῖν ἐν καραβίῳ, ἢ οὔ;

Λύσις. Συγκεχώρηται μὲν κατὰ λόγον οἰκονομίας καὶ ἐν οἴκοις οἰκοδομεῖσθαι εὐκτήριον καὶ θυσιαστήριον ἐν αὐτοῖς, πλὴν γνώμῃ καὶ ἐπισκοπῇ καὶ ὑποτυπώσει τοῦ κατὰ χώραν ἀρχιερέως. Τὸ δὲ ἐν πλοίοις γίνεσθαι τὴν μυστικὴν καὶ ἱερὰν ἁγιστείαν οὐ γέγραπται μέν, ὅμως ὅτι καὶ ἐν σκηναῖς βασιλικαῖς καὶ στρατιωτικαῖς γίνεται, κατὰ συγχώρησιν· ἔστι δὲ ἐκ τῶν ὁμοίων τέμνειν τὰ ὅμοια· πάντως διὰ τὴν κατὰ περίστασιν ἀναγκαίαν πραγματείαν τῆς ψυχικῆς σωτηρίας συγχωρηθήσεται τοῦτο καὶ τοῖς πλοίοις γίνεσθαι, κατὰ τὰς μακρὰς διαπλεύσεις, ἐπιπρεπῶς μέντοι καὶ εὐαγῶς καὶ ἐν τόπῳ εὐθέτῳ, ὥσπερ καὶ ἐν ταῖς μεταφορικαῖς σκηναῖς· ἐνδέδωκε γὰρ τοῦτο οἰκονομικῶς καὶ ὁ μέγας Βασίλειος, ἐρωτηθεὶς εἰ χρὴ εἰς κοινὸν οἶκον προσκομιδὴν τελεῖσθαι καὶ οὕτως ἀποκριθείς· Ὥσπερ οὐδὲν κοινὸν σκεῦος ἐπιτρέπει ὁ λόγος εἰσφέρεσθαι εἰς τὰ ἅγια, οὕτως οὐδὲ τὰ θεῖα εἰς κοινὸν οἶκον ἐπιτελεῖσθαι· τῆς μὲν παλαιᾶς Διαθήκης φανερῶς, προστάγματι Θεοῦ· μηδὲν τοιοῦτον ἐπιτρεπούσης γίνεσθαι, τοῦ δὲ Κυρίου λέγοντος· Πλεῖον τοῦ ἱεροῦ ὧδε· καὶ τοῦ ἀποστόλου λέγοντος· Μὴ γὰρ οἰκίαν οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; οὐκ ἐπαινῶ· ἐγὼ γὰρ παρέδωκα ὑμῖν ὃ καὶ παρέλαβον (α), καὶ τὰ ἑξῆς, ἐξ ὧν καὶ παιδευόμεθα μήτε τὸ κοινὸν δεῖπνον ἐν ἐκκλησίᾳ ἐσθίειν, μήτε τὸ μυστικὸν δεῖπνον ἐν οἰκίᾳ καθυβρίζειν, ἐκτὸς εἰ μὴ ἐν ἀνάγκῃ ἐπιλέξεταί τις καθαρὸν τόπον, ἢ οἶκον, ἐν καιρῷ εὐθέτῳ. Ταῦτα κατὰ τὸ ῥητὸν τοῦ ἁγίου Βασιλείου.

ΚΑ'. Λειτουργήσει τις ἐν ἐκκλησίᾳ τῶν μονοφυσιτῶν, καὶ νεστοριανῶν, καὶ ἀρμενίων διὰ ὠφέλειαν αὐτῶν, ἢ οὔ;

Λύσις. Διάφοροι μὲν αὐτῶν αἱ αἱρέσεις, ὁμοῦ δὲ πάντες ἀποκήρυκτοι καὶ ἀκοινώνητοι, καὶ τῷ αὐτῷ ὑπόδικοι ἀναθέματι· διὸ καὶ εἴ τις τούτοις συνεύξεται ἐπικέκλω[σ]ται αὐτῷ ἐκ τῶν θείων κανόνων καθαίρεσις· χρὴ γοῦν μὴ συνεκκλησιάζειν αὐτοῖς καὶ συνεύχεσθαι· κεκαπήλευται γὰρ αὐτοῖς ὁ λόγος τοῦ Θεοῦ καὶ ὁ οἶκος αὐτοῦ γέγονεν, εὐαγγελικῶς εἰπεῖν. (β) σπήλαιον λῃστῶν. Ὠφελήσειε δέ τις αὐτοὺς οὐδαμοῦ συνευχόμενος αὐτοῖς ὑπὲρ αὐτῶν, μενόντων ἐπὶ τῇ δυσσεβείᾳ, τῇ ἁμαρτωλοτάτῃ ἁμαρτίᾳ, ὅτι καὶ Μωσῆς αὐτὸς καὶ Σαμουὴλ εὐξάμενοι ὑπὲρ τῶν εἰς Θεὸν πεπαρῳνηκότων οὐκ εἰσηκούσθησαν, καθά που γέγραπται· ὅμως εἰ βούλεταί τις ὑπὲρ τοῦ ἐπιστρέψαι αὐτοὺς καὶ μετανοῆσαι εὔχεσθαι, ποιείτω τοῦτο ἰδιαζόντως καὶ ἐν τῇ κατ' οἶκον αὐτοῦ προσευχῇ· ὅτι καὶ Χριστὸς ὑπὲρ τῶν χριστοκτόνων καὶ ὑπὲρ τῶν λιθαζόντων ὁ πρωτομάρτυς ηὔξατο.

ΚΒ'. Ὀφείλομεν ψάλλειν τοὺς νεκροὺς τῶν αἱρετικῶν, διὰ τὴν τῆς Ἐκκλησίας κοινότητα καὶ τὴν φιλοπροσωπίαν, καὶ αὐτοὶ τοὺς ἡμετέρους, ἢ οὔ;

Λύσις. Ἁπαξ εἰρήκαμεν μὴ ὀφείλειν συγκοινωνεῖν πιστοὺς τοῖς αἱρετικοῖς· μερὶς γὰρ οὐδεμία πιστῶν μετὰ ἀπίστου· καὶ λιπέτω ἡ τοιάδε ἀντίδοσις· αἵ τε γὰρ τῶν ἀποστατῶν τοῦ Θεοῦ εὐχαὶ ὑπὲρ τῶν κατοιχομένων ὀρθοδόξων ψόφοι μόνοι κενοί, ἐβδελυγμένοι· ὅθεν καὶ ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς καὶ ἐκμηκτηριεῖ θυμῷ δικαίῳ τὴν τούτων ὑπὲρ τῆς μεσιτείας ἀπόνοιαν· ἄρακτοι δὲ καὶ αἱ τῶν πιστῶν ὑπὲρ τῶν ἐναποθανόντων τῇ δυσσεβείᾳ· ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστιν ἐπιστροφὴ καὶ μετάνοια. Οὐκοῦν εἴ τις ἦν σχίζα μέσον ἡμῶν καὶ αὐτῶν, ζώντων, ἡ αὐτὴ ἔσται καὶ θανόντων· τὸ γὰρ ἀνάθεμα ἐπιτάφιον αὐτοῖς καὶ θανοῦσιν.

ΚΓ'. Ὀφείλομεν μεταδιδόναι τοῖς λατίνοις ἀχμαλώτοις, ἢ οὔ; (γ)

Λύσις. Πρότερον ἀποταξάσθωσαν τοῖς ἀζύμοις, ἐν τούτοις γὰρ καὶ Ἰουδαῖος ἑορτάζει, καὶ τῇ πνικτοφαγίᾳ, παλαιὰ γὰρ καὶ τοῦτο ἁμαρτία, ἣν Πέτρος ἀποραπίζει πρῶτος ὁ κορυφαῖος ἐν ἀποστόλοις, διδάσκων ὡς λίχανα τὰ κρέα ἐσθίειν (δ), ἄψυχα δηλαδὴ καὶ ἄναιμα, τοιαῦτα γὰρ τὰ σφαττόμενα, ὥσπερ τὰ πνιγόμενα ἔναιμα· ἀνάλογον γὰρ τῇ ψυχῇ τὸ αἷμα· ἀποσχέσθωσαν καὶ τῆς κατὰ τὴν τυροφάγον ἑβδομάδα κρεωφαγίας· ἐξομολογείσθωσαν καὶ ἱερομονάχοις πιστοῖς καὶ ὁμογενέσιν ἡμῖν. Πρὸ πάντων καὶ ἐπὶ πᾶσιν ὀμνύτωσαν τὴν παραταθεῖσαν φυλάττειν τοῦ ἁγίου συμβόλου ἀπαραποίητον, οἵαν ἥ τε πρώτη Σύνοδος καὶ ἡ Β' καὶ αἱ λοιπαὶ καθεξῆς παραδεδώκασι· καὶ τότε τῆς ἁγίας κοινωνίας ἀπολαυέτωσαν.

ΚΔ'. Ὀφείλομεν μεταδιδόναι τῶν θείων

α—Α'. Κορινθ. ια', 22. λέγει δ' αὐτόθι· Ἐγὼ γὰρ παρέλαβον ὃ καὶ παρέδωκα.—Τὸ δὲ τοῦ Κυρίου "πλεῖον Ἰωνᾶ ὧδε,, παρὰ Ματθαίῳ ιβ', 41 καὶ Λουκᾷ ια', 32.

β Ματθ· κα', 13. Μάρκ. ια', 17, Λουκ ιθ, 46.

γ. τρισσαῖς ἐρυθροῖς ἐν μέσῳ τοῦ λόγου σημειοῦται "Σημείωσαι ὅτι θέλει ἀποτάξασθαι ὁ λατῖνος καὶ οὕτω κοινωνῆσαι ἡμῖν,,.

δὸ ν ποτέρᾳ τῶν ἐπιστολῶν;

μυστηρίων τοῖς κατὰ τύχην ἐρχομένοις ἐν ταῖς ἡμῶν ἐκκλησίαις ἀκωλύτως, νεστοριανοῖς, καὶ ἀρμενίοις, ἢ οὔ;

Λύσις. Γέγραπται μὴ ῥίπτειν τὰ ἅγια τοῖς κυσὶ (ε), μηδὲ τοὺς μαργαρίτας τοῖς χοίροις· ἐχόμενα δὲ τῆς εὐαγγελικῆς ταύτης γραφῆς καὶ οἱ κανόνες τῶν ἁγίων πατέρων διακελεύονται μὴ ἄλλως δέξασθαι τοὺς τοιούτους ἐξ αἱρέσεως ἐρχομένους, εἰ μὴ ἀρνήσονται πρότερον ἃ κακῶς παρέλαβον, καὶ χρισθῶσι τῷ ἁγίῳ μύρῳ τὰ μέτωπα καὶ πάντα τὰ αἰσθητήρια. Τοιουτοτρόπως γοῦν ὀφείλει δέχεσθαι καὶ οὕτως ἀξιοῦν τῶν θείων ἁγιασμάτων.

ΚΕ΄. Ὀφείλουσι μεταλαμβάνειν καθ' ἡμέραν οἱ ὄντες ἐν ἐξομολογήσει ἄνδρες, γυναῖκες, μοναχοὶ καὶ λαϊκοί, ἢ οὔ;

Λύσις. Οὐχ ἅμα τῇ ἁτλῷ; ἐξομολογήσει ἐξ ἀνάγκης ἕπεται καὶ ἡ ἀξία τῆς ἁγίας μεταλήψεως ὑποδοχή· ἀλλ' ἔστι μὲν καὶ αὕτη μέγα τι ἐκ τῶν ψυχικῶν φαρμάκων ἀλεξιφάρμακον, πλὴν διακρίνειν δεῖ τὰ ἐξηγορευμένα· ἔστι γὰρ πολλάκις τὸ ξυμπεσὸν ἀνεπιτίμητον καὶ οὐ κωλύει τὴν ἁγίαν μετάληψιν, ἄλλο δὲ δεῖται ἐπιτιμίων μετρίων, καὶ οὐδὲ ἡ ἁγία κοινωνία εὔκαιρος· ἕτερον ἔχει πταῖσμα μέγα, καί εἰσιν ἐν τούτῳ καὶ τὰ ἐπιτίμια μεγάλα καὶ χρόνια, καὶ καθαρτήριοι τόποι ζητητέοι· ὁ τοῦ προσκλαίοντος, κατὰ τὸν ἔξω τῆς ἐκκλησίας περίβολον, ὁ τοῦ ἀκροωμένου, κατὰ τὰς πύλας, ὁ τοῦ ὑποπίπτοντος, κατὰ τὰ ὀπίσθια τοῦ ἄμβωνος, καὶ ὁ τοῦ συνεστῶτος, καθ' ὃν μετὰ τῶν πιστῶν μὲν διόλου συνίσταται, οὐ μὴν δὲ κοινωνεῖ καὶ τῶν θείων ἁγιασμάτων, ἕως οὗ ὁ ὡρισμένος τῶν ἐπιτιμίων χρόνος πέρας λήψεται. Οὐκ ἀκοῦσα τοίνυν ἐπὶ τῶν ἐφαμάρτων καὶ εἰς βάθος σπιλοποιῶν ἡ ἐξομολόγησις μόνη, ἀλλὰ καὶ ἐργασίας χρεία ἀναλόγου τῇ ποιότητι τοῦ ἁμαρτήματος· τότε δὲ οὐκ ἀπαιτητέα ἡ ἐργασία ἡνίκα ὁ ἄνθρωπος τελευτᾷ· τηνικαῦτα γὰρ παρὰ τῶν πατέρων συγκεχώρηται, ἐλέει τοῦ φιλανθρώπου Θεοῦ, μεταλαμβάνειν τῶν ἀχράντων μυστηρίων, ἵνα ἔχῃ τοῦτο ἐφόδιον.

ΚΣΤ΄. Ὅστις ἐν πολλαῖς λειτουργίαις λειτουργηθῇ ὀφείλει μεταλαμβάνειν, ἢ οὔ;

Λύσις. Οὐκ ἀκόλαστον τὸ μὴ μεταλαμβάνειν· καὶ δῆλον ἐκ τοῦ ἀποστολικοῦ Η΄ κανόνος ἔχοντος οὕτως· Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, προσφορᾶς γενομένης, μὴ μεταλάβῃ, τὴν αἰτίαν εἰπάτω, καὶ ἐὰν ᾖ εὔλογος συγγνώμης τυγχανέτω, εἰ δὲ μὴ λέγει, ἀφοριζέσθω ὡς αἴτιος βλάβης γινόμενος τῷ λαῷ καὶ ὑπόνοιαν ποιήσας κατὰ τοῦ προσενέγκαντος (α).

α γράμμασιν ἐρυθροῖς ἐν τῷ κειμένῳ κεῖται ἡ προσθήκη· πλὴν ἄπαξ τῆς ἡμέρας μεταλήψεται ὁ ἄξιος...

ε. Ματθ. Ζ. 6.

ΚΖ΄. Ὀφείλομεν λειτουργῆσαι μετὰ ψυχροῦ ὕδατος, ἢ οὔ;

Λύσις. Ἐπεὶ φησὶν ὁ μέγας πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ὡς ὁ παραθέμενος τὰ χείλη τῷ ἁγίῳ ποτηρίῳ αὐτῇ τῇ ἁγίᾳ πλευρᾷ τοῦ Χριστοῦ τὰ χείλη παρέθηκεν, ἐξ αὐτῆς δὲ αἷμα καὶ ὕδωρ ἔβλυσε, παρελάβομεν κεραννύειν τὸ ποτήριον ἐξ οἴνου καὶ ὕδατος· ὅθεν οὐ δεῖ διακρίνειν τὰ ἀδιαίρετα· τό τε γὰρ ὕδατι μόνῳ κεχρῆσθαι μαρκιωνίστωνν τῶν ποντικῶν αἱρεσις, οἳ ὑδροπαραστάται ἰδιωνύμως καλοῦνται· καὶ τὸ οἴνῳ μόνῳ ἀκράτῳ ἕτερον ἀτόπημα, μονοφυσιτῶν ἀρμενίων ἰδιότροπον. Ἐπεὶ δὲ, ἡνίκα τὸ αἷμα καὶ ὕδωρ ἐπήγασε, νεκρὰ ἦν ἡ κυριακὴ σὰρξ, τῆς ψυχῆς χωρισθεῖσα, οὐ διέστη δὲ τοῦ Θεοῦ Λόγου, ἡνωμένη αὐτῷ καθ' ὑπόστασιν, καὶ ἔξεεν ἡ ζωήρρυτος δίδυμος πηγή, ὅτι καὶ ἡ σὰρξ, ἐξ ἧς ἡ πηγή, ζῶσα τῇ θεότητι, ἀνάγκη καὶ ζέον προσφέρειν ὕδωρ.

ΚΗ΄. Δεῖ ἱερατεύειν μετὰ ἄρτου ὑόο καὶ τριῶν ἡμερῶν;

Λύσις· Οὐκ ἐμποδισθήσῃ ἱερουργῆσαι· μόνον ἔστωσαν οἱ ἄρτοι ζυμωτοί· τοῦτο γὰρ τὸ ἄρτιον καὶ εἰς θυσίαν ὑγιές.

ΚΘ΄. Ἐάν τις ἱερεὺς ἱερουργῇ καὶ διὰ μέσου συμβῇ χυθῆναι τὸ ἅγιον αἷμα ἢ μέρος τῆς ἁγίας σαρκὸς, τί ὀφείλει γενέσθαι;

Λύσις. Τὸ μὲν ἅγιον σῶμα καὶ αἷμα τοῦ Χριστοῦ εἴτε ὑπὸ ἀνόμων ἀνδρῶν ἢ ἀπροσέκτων ἀτιμασθήσεται καὶ ῥιφήσεται, ἢ μῦς ἅψεται αὐτοῦ, ἢ ἕτερόν τι ζῶον, οὐ διαφθείρεται ἢ εἰς τὸ μὴ εἶναι χωρεῖ, ἀλλ' ἀοράτως ἀναρπάζεται, καθὰ καὶ τὸ ἐκ τῆς πλευρᾶς χυθὲν ἅγιον αἷμα, ὡς ἐδιδάχθημεν· ὅμως δεῖ τὸν ἱερέα ὅλον ἑαυτὸν συνόγειν εἰς φυλακὴν τοῦ θείου μαργαρίτου, μήπως τοιοῦτόν τι πλημμεληθήσεται· εἰ γὰρ καὶ ἀναρπάζεται καὶ τὸ μαργαρῶδες ὑγιὲς σώζεται καὶ ἀλώβητον καὶ ἀνώλεθρον, ἀλλ' ὁ ταμιοῦχος εὐθύνας δοίη τῆς οἰκείας νωθρείας· τὸ γὰρ εἰς αὐτὸν ἦκον, ἠτίμασται· διὸ καὶ ὁ μέγας Βασίλειος παραγγέλλει τοῖς ἱερεῦσιν ἐν ἐπιστολιμαίᾳ γραφῇ προσεκτικοὺς σφόδρα γίνεσθαι τούτους τὰ εἰς φύλαξιν τῶν παναχράντων μυστηρίων, μήπως ἐξ ἀνευλαβείας ἢ ἀμελείας συμπεσεῖταί τι τῶν ἀπηγορευμένων. Ὅπου δὲ τὸ ἅγιον αἷμα χυθῇ ἢ τὸ τίμιον σῶμα ῥιφθῇ, προσφερέσθω πῦρ καὶ καιέσθω ὁ τόπος, καὶ ἡ ἐκ τῆς καύσεως γενομένη σποδιὰ εἰς βυθὸν ῥιφθήτω θαλάσσης, ἢ μᾶλλον ἀποταμιευθήτω ἐν ἐπισήμῳ τόπῳ.

Α΄. Ἐὰν περιττεύσωσι τὰ ἅγια δῶρα, τί χρὴ γενέσθαι;

Λύσις. Ἀποτηρείσθωσαν κατὰ τὴν αὔριν καὶ μεταλαβέτωσαν αὐτῶν οἱ νηστεύοντες.

ΑΑ΄. Ἐὰν δὲ οἱ μέλλοντες μεταλαβεῖν οὐχ εὕρωσιν ἅγια δῶρα, τί χρὴ γενέσθαι;

Λύσις. Εἰς ἄλλην ἡμέραν γενέσθω ἡ θεία λειτουργία καὶ μεταλαβέτωσαν.

ΑΒ'. Ἔχουσιν λύειν καὶ δεσμεῖν οἱ ἱερεῖς οἱ μὴ ἔχοντες τοῦτο ἀπὸ ἀρχιερεῖς;

Λύσις. Ἐπεὶ οἱἀπόστολοι ἔλαβον τοῦτο ἐκ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως, μετέλαβον αὐτοῦ καθεξῆς καὶ οἱ ἀρχιερεῖς οἷα καὶ αὐτοὶ ἀποστολικῶς χριόμενοι καὶ εἰς ποίμανσιν τῶν τοῦ Χριστοῦ ποιμνίων ἀποστελλόμενοι, καὶ ἔστι καὶ τὸ τοιοῦτον δώρημα ἐξ ἀνάγκης τῇ εἰς ἀρχιερατείαν τειλειώσει συναγόμενον· οἱ δὲ ἱερεῖς οὐκ ἐπισκοπικῶς χειροτονούμενοι οὐδ' ἐπικτῶνται καὶ τὴν τοιαύτην χάριν ἐξ αὐτῆς τῆς ἱερατείας· ἀμέλει τοι καὶ ἅρπαγες οἱ τοιοῦτοι καὶ ἀπατεῶνες, δοκοῦντες δωρεῖσθαι ὃ οὐκ ἔλαβον καὶ ἁμαρτάνοντες καὶ εἰς ἑαυτοὺς ἐπ' αὐτῷ τῷ κεφαλαίῳ τῆς σωτηρίας. Ὅτι δὲ οὐ δύνανται αὐτόθεν οἱ ἱερεῖς λύειν καὶ δεσμεῖν ὁ ΜΓ' κανὼν τῇ ἐν Καρθαγένῃ συνόδου διαρρήδην διδάσκει, οὕτω διεξιών· Ὥστε τοῖς μετανοοῦσι κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν τῇ τῶν ἐπισκόπων κρίσει τῆς μετανοίας τὸν καιρὸν ψηφίζεσθαι, πρότερον δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου μὴ καταλλάσσειν μετανοοῦντα εἰ μὴ δ' ἂν ἀνάγκης συνωθούσης ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου κατάλλαξιν νόει μετανοούντων τὴν τοῦ ἐπιτιμίου λύσιν.

ΑΓ'. Δύναται πᾶς ἱερεὺς δέχεσθαι λογισμούς

Λύσις. Δύναται καὶ οὐ κωλύεται· ἠκηκόεις γὰρ τοῦ ἀναγεγραμμένου κανόνος, ὡς εἴπερ γνώμῃ τοῦ ἐπισκόπου ἔστι, δύναται καὶ καταλλάσσειν μετανοοῦντα·ἀλλὰ καὶ ὁ μέγας Βασίλειος, ἐρωτηθεὶς τίσιν ἐξομολογητέον, οὐκ εἶπεν ἰδιαιτάτοις τοῖς μοναχοῖς ἀλλὰ τοῖς οἰκονόμοις τῶν τοῦ Θεοῦ μυστηρίων, ὅτι καὶ Ἰωάννης τοῦτο φησὶν ἐδόθη τῷ μυστολέκτῃ καὶ πρώτῳ ἱερουργῷ τῆς μετανοίας καὶ τοῦ βαπτίσματος, ὥστε προηγουμένως μὲν ζητεῖν τὸν ἱερατείαν ἔχοντα, μετὰ δὲ τῆς ἱερατείας καὶ γνώσει κεκοσμημένον καὶ ἀρετῇ, καὶ τούτῳ ἀναθεῖναι τῶν λογισμῶν τὴν ὑποδοχήν· εἰ δ' ἔστιν ὁ ταῦτα ἔχων καὶ μοναχὸς, ἔκκριτος δὴ καὶ οὗτος, διά τε ταῦτα καὶτὸ ἐξαίρετον τῆς μοναχικῆς πολιτείαςκαὶ ὄντως ἀγγελικῆς, δι'ἣν καὶ ἔχουσιν οἱ μοναχοὶ τὸ ἀπόλεκτον.

ΑΔ'. Ἐάν τις ἀποκαρῇ ἐν μονῇ, ὀφείλει μεταβῆναι ἀπ' αὐτῆς καὶ ἀπελθεῖν ἐν ἑτέρᾳ, ἢ οὔ;

Λύσις. Ἐπεὶ ὁ ἀποκειρόμενος ἐγγύας ποιεῖται εἰς τὸν Θεὸν, ἀπογραφομένας ἀοράτως τοῖς ἀγγέλοις, πῶς ῥάδιον αὐτῷ ἀρνεῖσθαι αὐτὰς, καὶ τῆς μονῆς ἐξέρχεσθαι, ἐν ᾗ προσμένειν ὡμολόγησε· διὸ καὶ οἱ θεῖοι πατέρες, ἀπείροντες τὸ ἐκ τῆς παραβασίας τῶν τοιούτων συνθηκῶν ἔγκλημα, ὅπου γὰρ ἁμαρτία, ἐκεῖ καὶ νόμος κολάζων αὐτὴν, ἔθεντο ἐπιτίμιον τῷ τε μοναχῷ, εἰ ἐξέλθοι τῆς μονῆς, καὶ τῷ προεστῶτι αὐτῆς, εἰ ὁμαλῶς ἐνδοίη πρὸς τὴν ὑποχώρησιν, καὶ τρίτῳ τῷ δεξαμένῳ αὐτὸν ἐν ἑτέρᾳ μονῇ· ἵνα διὰ τῶν τοιούτων τριπλόκων δεσμῶν αἱ συνθῆκαι φυλάσσωνται. Ὁ δὲ ἅγιος Βασίλειος, ἐν τοῖς Ἀσκητικοῖς αὐτοῦ κεφαλαίοις, ἐπαινεῖ μὲν τὸν τοιοῦτον τῶν πατέρων ὅρον καὶ δέχεται· πῶς γὰρ οὔ· ἐνδίδωσι δὲ τῷ μοναχῷ ἀναχωρεῖν ὅτε οὗτος κατὰ ψυχὴν βλάπτεται, ποιεῖν δὲ τοῦτο οὐ λαθραίως καὶ αὐθεντῶς, ἀλλὰ πρότερον ἀπαγγέλλειν τῷ ἡγουμένῳ τὴν αἰτίαν τῆς ψυχικῆς βλάβης, καὶ εἰ μὲν θεραπεύεται, λέγειν τοῦτο ἐπ' ἀκροάσει τῆς ἀδελφότητος καὶ οὕτως ὑποχωρεῖν· ὥστε, εἰ τοιουτοτρόπως ὑποχωρήσει, οὐχ ἁμαρτάνει· οὐ γὰρ δρᾷ τοῦτο ὡς τῶν οἰκείων συνθηκῶν ὑπερόπτης, ἀλλ' ὡς φεύγων τὸ βλάβος τῆς ἑαυτοῦ ψυχῆς, ὑπὲρ ἧς ἀπέθετο τὰς τρίχας· διὸ καὶ τὸν κανόνα δεῖ τιμᾶν τῶν πατέρων, καὶ τὴν διάστιξιν τοῦ μεγάλου Βασιλείου μὴ ἀθετεῖν· ἀμφότερα γὰρ χρηστὰ, καὶ τοῦτο κἀκεῖνο, μὴ ἀλλήλοις ἐναντιούμενα, ἀλλ' εἰς ἓν συναγόμενα· τὴν σωτηρίαν.

(ἕπεται συνέχεια)

ὁ μ. χ. Μ. Ι. Γ.

ΝΕΑΙ ΛΟΓΙΜΩΝ ΑΝΔΡΩΝ ΤΕΡΨΕΙΣ

Ὅμοιον τίτλον προγενεστέρας μου διατριβῆς δάνειον λαβὼν ἀπὸ τοῦ βιβλίου τοῦ Λαμίου, ἐν τῇ μετὰ χεῖρας, ὁμοίαν ὕλην περιεχούσῃ τῷ Λαμίῳ ἄγνωστον,τὴν λέξιν **Νέαν** προτάττω, οἱονεὶ ἤθελον ἐπιγράψει Novae Deliciae eruditorum. Εἰς τὴν νέαν ταύτην πραγματείαν, ἧς ἡ ὕλη συνηρμολογήθη σύμπασα ἐξ ἑνὸς χειρογράφου, οὐδεμίαν θέλομεν χρησιμοποιήσει τῶν ἐκδεδομένων ὑπὸ τοῦ τυρρηνοῦ ἐκδότου ἐπιστολῶν, νέα δ' ὀνόματα θελουσι καταστῇ γνωστὰ, ἢ περιστατικά τινα τῆς ζωῆς αὐτῶν γνωστότερα, πιθανῶς δὲ καί τινα βιογραφικὴν πληροφορίαν, γνωστὴν μὲν ἀλλὰ χρήζουσαν ἐπανορθώσεως ἢ συμπληρώσεως, θέλει χορηγήσει ἡμῖν τὸ 463 χειρόγραφον τῆς πλουσίας τοῦ Μετοχίου τοῦ Παναγίου Τάφου βιβλιοθήκης· διότι ἐξ αὐτοῦ, γραφέντος τὴν ΙΖ' ἑκατονταετηρίδα,πάσας τὰς εἰδήσεις ἀρύομαι περὶ λογίμων ἑλλήνων ἀκμασάντων μετὰ τὰ μέσα τῆς ΙΣΤ' καὶ τὸ πλεῖστον τῆς ἐπιγείου ζωῆς, ἢ συνόλην ταύτην, διανυσάντων ἐν πόλεσι τῆς Ἑσπερίας, ἢ ἐν αὐστριακαῖς. Δυστυχῶς, ἑλληνικῶν κειμένων ἐκδόσεις ἐγένοντο πολλαὶ κατὰ τὰ τελευταῖα ἔτη καὶ ἐν δοκίμοις περιοδικοῖς καὶ βιβλίοις κουβαραδικοῖς καὶ ἐν ἀδοκίμοις, καὶ τούτων τὴν μακρὰν ἢ βραχεῖαν βιοτὴν καὶ τὴν εἰς τὰς ἐπιστήμας ὑπηρεσίαν δυσκόλως ἤθελε δυνηθῇ 'ν' ἀντιληφθῇ ἢ καὶ 'να παρακολουθήσῃ οἱοςδήποτε τῶν παρ' ἡμῖν περιέργων· ἐντεῦθεν ἀγνοῶ ἐὰν ὦσιν ἐκδεδομέναι κατὰ μέρος ἢ ἐν

συνόλῳ αἱ πλείονες τῶν ἐπιστολῶν τοῦ λαμπροῦ μὲν, ἀλλ' ἀμελῶς μεταγεγραμμένου χειρογράφου, γνωστοῦ γενομένου εἰς τινας τῶν ἡμετέρων. Ὁ φιλοπονώτατος ἀρχιμανδρίτης κ. Χρυσόστομος Παπαδόπουλος, ἐπὶ παραδείγματι, γινώσκει τὸ χειρόγραφον καὶ τὰς ἐν αὐτῷ ἐπιστολὰς τοῦ μητροπολίτου Μονεμβασίας Ἱεροθέου* ἐπιστελλομένας «πρὸς τὸν ἀρχιμανδρίτην ὄντα τότε Κύριλλον Λούκαριν, ἐν ἀρχῇ τοῦ 1593 γραφείσας». Χάριν τῆς μνήμης τοῦ Ἱεροθέου ἔπρεπε 'να ἐκδοθῶσι παρ' ἡμῖν, ἐν καιρῷ τῷ δέοντι, αἱ ἐπιστολαὶ αὗται· ἐν τούτοις, χάριν τῆς ἀληθείας, πρέπει 'να σημειωθῇ νῦν ὅτι, εἰς οὐδεμίαν τῶν ἐν τῷ χειρογράφῳ τούτῳ ἐπιστολῶν Ἱεροθέου Μονεμβασίας εἶδον ἔτος σημειούμενον. Ἐκτὸς τούτου ἀπολύει τὰς ἐπιστολὰς οὐχὶ ἐκ μέρους τινὸς τῶν καθ' ἡμᾶς ἀνατολικῶν, ἀλλ' ἐξ ὑπερβορείων, ἐν ἡλικίᾳ γεροντικῇ κτλ., ὥστε 'να μένῃ τις ἐν ἡμῖν ἀμφιβολία περὶ τοῦ ἔτους, καθ' ὃ τὰ πρὸς Κύριλλον ἐπέστελλε γράμματα. Ὁ ἀρχιμ. Χρυσόστομος ἐβεβαίωσεν ὅτι ἐν ἀρχῇ τοῦ 1593 ἐγράφησαν αἱ τοῦ Μονεμβασίας ἐπιστολαὶ καὶ ὅτι «κατὰ μάϊον τοῦ ἔτους ἐκείνου προφανῶς δὲν ἔζη ὁ Ἱερόθεος»· ἀλλ' ὁ ἀρχιμ. Χρυσόστομος ἐν τῇ λαμπρᾷ πραγματείᾳ αὐτοῦ «Περὶ Κυρίλλου τοῦ Λουκάρεως» (ἐν Τεργέστῃ, 1907) εἰς τὴν 11 σελίδα γράφει ὅτι τῷ 1593 ἐχειροτονήθη πρεσβύτερος ὁ Λούκαρις ὑπὸ Μελετίου Πηγᾶ, μένοντος ἐν τῇ ἕδρᾳ τῆς ἀποστολικῆς Ἐκκλησίας, ἣν ἐποίμαινε. Πότε λοιπὸν ἐχειροτονήθη πρεσβύτερος, πότε ἐγνώσθη μέχρι τῶν ὑπερβορείων μερῶν, ἢ μέχρι τῶν ρουμελικῶν, ἢ μέχρι τῶν πελοποννησιακῶν μερῶν, ἡ χειροτονία αὐτοῦ, καὶ ἀμέσως ὁ Ἱερόθεος ἔγραφε πρὸς αὐτὸν, ὡς ἀρχιμανδρίτην!!

Καλὸν καὶ φρόνιμον φρονῶ 'να παραλίπω τὰς πλείονας ἐπιστολὰς τοῦ Ἱεροθέου, μεταβιβάζων τὸν λόγον τό γε νῦν εἰς ἑτέρους σπουδαίους ἄνδρας, γράφοντας ἀπὸ τοῦ 1587 ἕως τοῦ 1596. Δυστυχῶς, τείνω 'να πιστεύσω ὅτι οἱ τότε ἄνθρωποι σπανίως ἐσημείουν γραφῆς ἔτος εἰς τὰ γράμματα, ἃ πρὸς φίλους ἔστελλον.

Μίαν ἐκ τῶν τοῦ Μονεμβασίας ἐπιστολῶν ἐκδίδωμι, τῶν ἐπιλοίπων ἀναβάλλων ἐν καιρῷ τὴν ἔκδοσιν· Ἐκδίδωμι δὲ καὶ δύο τοῦ Ἐμμανουὴλ Ἀχιλλείου καὶ μίαν πρὸς Νικηφόρον διάκονον.

* Περὶ τῆς ἑλλην. ἐκκλησιαστ. χρονογραφίας τοῦ ΙΣΤ αἰῶνος· ἀνατύπωσις κτλ. σελ. 22.

Ἀρκετὰς ἐπιστολὰς ἀπὸ τοῦ 463 χειρογράφου ἐξέδωκεν ὁ Emile Legrand ἐν Δ' τόμῳ τῆς Bibliographie Hellénique, παρέλιπε δὲ τὰς τοῦ Ἀχιλλείου, καθὼς ἔλιπεν ἀνέκδοτον καὶ μίαν λογίμου τινὸς μοναχοῦ, Κυπριανοῦ, ποθοῦντος ἵνα διανύσῃ τὰς αὐτοῦ σπουδὰς ἐν Βίλνᾳ.

Τὸ ὄνομα τοῦ Ἐμμανουὴλ Ἀχιλλείου τὸ πρῶτον νῦν οὐ γίνεται γνωστὸν τοῖς ἀσχολουμένοις εἰς τὴν ἱστορίαν τῶν χειρογράφων καὶ τὴν τῶν λογίμων ἑλλήνων τῶν κάτω χρόνων. Ἐν τῷ Καταλόγῳ τῶν χειρογράφων τῶν ἐν τῇ βιβλιοθήκῃ τῆς ἁγίας Ἀποστολικῆς Ἕδρας, ἐκδεδομένῳ τῷ 1884, ἀναγινώσκω (σελ. 85) ὅτι ἐν κώδ. κι 156 εὕρηται ἡ ἑξῆς ὑπόμνησις «Ἐμμανουὴλ Ἀχίλλειος ποτὲ τήνδε εἰς χεῖρας λαβὼν βίβλον ἔγραψε τοῖς μέλλουσιν ἀναγνῶναι τοὔνομα, Ἕλλην ὤν, ἐν ἔτει 1590 πυανεψιῶνος δεκάτῃ ἱσταμένου (νοεμβρίου) ἐν πόλει Εἰδελβέργῃ». Αὐτὸς οὗτος ἄρα γνωρίζει ἡμῖν τὴν καταγωγὴν καὶ τὴν ἐθνικότητα αὐτοῦ. Ἀλλ' ἐκ τῶν ἐπιστολῶν δύσκολον 'να συμπεράνωμεν εἴπερ ἐν ταῖς εὐρωπαϊκαῖς πόλεσιν, ἐν αἷς ἔμενεν, ἐδιδάσκετο· φαίνεται ὁ ἀνὴρ τῆς ἑλληνικῆς ἐν μέτρῳ περιωρισμένῳ εἰδήμων, ὡς καὶ ὁ Κυπριανός.

Μετὰ τὴν ἀνάγνωσιν τῶν ἐπιστολῶν αὐτοῦ τε καὶ τῆς τοῦ Μονεμβασίας Ἱεροθέου καὶ τῆς πρὸς τὸν Νικηφόρον, ὁ ἀναγνώστης σχηματίσει βεβαίως ἰδέαν τινὰ περὶ τῶν γραφόντων αὐτάς. Μεθ' ὃ λόγον βραχὺν ἐκτίθημι περὶ τινων λογίμων ἑλλήνων, ἀκμασάντων καθ' οὓς χρόνους ἤκμασαν καὶ οἱ τῷ Λαμίῳ τὴν ὕλην τῶν Deliciae eruditorum χορηγήσαντες. Ἰδοὺ αἱ ἐπιστολαί

Τῷ ὁσιωτάτῳ καὶ ἐλλογιμωτάτῳ ἀνδρὶ κυρίῳ Κυρίλλῳ τῷ ἀρχιμανδρίτῃ (κλπ.) εὖ πράττειν

Μέγιστον εἰκότως σημεῖον τῆς κατὰ Θεὸν εὐνοίας τῆς πρὸς τοὺς φίλους ἡ πρὸς τούτους συνεχὴς διὰ γραμμάτων προσαγόρευσις, ἣν ὁ δυνάμενος ἐκτελεῖν ἀμελῶν δὲ τυγχάνει (α), προσφιλέστατέ μοι Ἱερὲ Κύριλλε, τῆς ἀκροτάτης ἀφεστηκὼς τυγχάνει τῶν ἐρετῶν ἀγάπης καὶ τοῦ ταύτης πιτρὸς Θεοῦ πορρωτέρω καθέστηκεν. Ἵνα μὴ τοίνυν κατηγορίας τοσαύτης ἄξιοι καὶ τῆς σῆς ἀληθοῦς φιλίας ἀμνήμονες εὑρεθῶμεν, γραμματοκομιστοῦ τυχόντες νῦν, ἐπιστέλλομεν τῇ σῇ ἐλλογιμότητι, καίτοι ἐν γήρᾳ ὄντες, καὶ νόσῳ, τῷ ἄσθματι, πνιγόμενοι, καὶ τῶν τούτοις ἀντιπαλαιόντων ξηδειῶν. Σκέψαι δὲ ὡς κρυερὰ καὶ μυχμῶν ἀπόζει μακρόθεν ἡ ἐπιστολὴ, τὰ γήρως καὶ ἀσθενείας ἐμφαί-

α—δεῖται σαφηνείας τινὸς τὸ χωρίον.

